Περὶ τοῦ χωρίου τούτου ὁ ἀείμνηστος διδάσκαλός μου Κόντος ἐποιήσατο λόγον ἐν τῷ Περιοδικῷ συγγράμματι Σωκράτει Τόμ. Β΄, σελ. 41 (1875) καὶ εἶτα ἐν τῇ Ἐπετηρίδι τοῦ Πανεπιστημίου 1908-9 διὰ μακρῶν διορθῶν ὀξυνούστατα «καὶ διὰ τοῦτο ἄνθρωποι μὲν [πολλοὶ] συνεχῶς *ἐπιπλοκήλῃ ἁλίσκονται*· καλοῦσι γὰρ οὕτω τὴν κήλην κτἑ».

Ἀλλ' ἡμεῖς κάλλιον νομίζομεν ὅτι ἀποκαθίσταται τὸ χωρίον, ἐὰν γράψωμεν «καὶ διὰ τοῦτο ἄνθρωποι μὲν [πολλοὶ] συνεχῶς *ἐπιπλο(κήλῃ ἁλίσκε)σθαι λέγονται*· καλοῦσι γὰρ οὕτω τὴν κήλην κτἑ».

ΕΙΣ ΞΕΝΟΦΩΝΤΑ ΤΟΝ ΕΦΕΣΙΟΝ

Παρὰ Ξενοφῶντι τῷ Ἐφεσίῳ ἐν τοῖς κατὰ Ἀνθίαν καὶ Ἁβροκόμην Λόγ. Α΄, 12, 1 φέρεται «Κατήγετο δὲ ἡ ναῦς εἰς Ῥόδον καὶ ἐξέβαινον οἱ ναῦται, ἐξῄει δὲ ὁ Ἁβροκόμης ἔχων μετὰ χεῖρα τὴν Ἀνθίαν· συνῄεσαν δὲ πάντες οἱ Ῥόδιοι, τὸ κάλλος τῶν παίδων καταπεπληγότες, καὶ οὐκ ἔστιν ὅστις τῶν ἰδόντων παρῆλθε σιωπῶν· ἀλλ' οἱ μὲν ἔλεγον ἐπιδημίαν [ἐκ τῶν Herch.] θεῶν, οἱ δὲ προσεκύνουν καὶ *προσεποιοῦντο*».

Ἀντὶ τοῦ ἀδιανοήτου *προσεποιοῦντο* ὁ T. W. Lumb φρονῶν ὅτι ἐν τῷ *προσεποιοῦντο* ἡ *πρός* προῆλθεν ἐκ διττογραφίας διὰ τὸ προηγούμενον *προσεκύνουν* εἰκάζει *ἐπτοοῦντο*, ὁ δὲ Elsner *προσεπιτνοῦντο*, ὃ καὶ καταχωρίζει εἰς τὸ κείμενον ὁ νέος ἐκδότης Dalmeida σελ. 15 Budé. Ἀλλ' ὁ τύπος *προσπιτνοῦμαι - προσπίτνομαι* εἶναι ἀνελλήνιστος οὐδαμῶς τῷ στόματι τοῦ περὶ οὗ ὁ λόγος συγγραφέως ἁρμόζων. Ἡμεῖς νομίζομεν ὅτι ὑπὸ τοῦ ἐρωτικοῦ ἐγράφη «προσεκύνουν καὶ *προσεποτνιῶντο* (=προσικέτευον ποτνιώμενοι, τουτέστι ἐπικαλούμενοι αὐτοὺς ὡς θεούς)». Ἀπαντᾷ δὲ τὸ ῥῆμα *προσποτνιῶμαι* παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ Τόμ. Β΄, σελ. 174, 16 Λάμπρ. «καὶ πρὸς τοὺς θαυμάζοντας ὡς ἀλλόκοτον τὸ πεπραγμένον εἶπεν, ὡς ἔτι ζῶντος τοῦ παιδαρίου *προσεποτνιᾶτο* καὶ ἐδεῖτο θεοῦ, εἴπως ἀνασφήλειε τῆς νόσου», ὡς διδασκόμεθα ἐκ τῆς Συναγωγῆς Ἀθησ. Λέξεων τοῦ Κουμανούδου σελ. 299. Τὸν βάρβαρον τύπον *πίπτονται* ἐνετύχομεν ἐν τῷ Ὀρνεοσο-

φίῳ σελ. 537,12 Herch. «καὶ τὰ μὲν πτερὰ αὐτοῦ τῶν πτερύγων *πίπτονται*, τὰ δὲ τοῦ νώτου αὐτοῦ *ἵστανται* πεφρικότα».

Ἐν Λόγῳ Α΄, 2, 7 φέρεται «καὶ ἦσαν ποικίλαι παρὰ τῶν θεωμένων φωναί, τῶν μὲν ὑπ' ἐκπλήξεως τὴν θεὸν εἶναι λεγόντων, τῶν δὲ ἄλλην τινὰ ὑπὸ τῆς θεοῦ *περιποιημένην*». Ὁ ἀοίδιμος Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ Ἡλιοδώρου Τόμ. Β΄, σελ. 6 ἔχει τὴν γνώμην ὅτι ὁ Ξενοφῶν παραχθεὶς ὑπὸ τῆς κοινῆς συνηθείας ἀναυξήτως ἐξήνεγκε τὸν παρακείμενον, ἣν γνώμην ἀσπάζονται καὶ ἄλλοι. Ὁ ἀείμνηστος διδάσκαλός μου Κόντος ἐν τῷ Περιοδικῷ Συγγράμματι Σωκράτει Τόμ. Α΄, σελ. 142 γράφει «Ἡμεῖς οὐδαμῶς πειθόμεθα ὅτι ἐγράφη *περιποιημένην* ὑπὸ τοῦ Ξενοφῶντος τοῦ Ἐφεσίου. Τῶν δὲ γενομένων εἰκασιῶν, *περιποθουμένην*, *περιεπομένην*, *περιπεποιημένην*, *παραπεποιημένην*, *παρωμοιωμένην*, οὐδεμιᾷ ἀρεσκόμεθα. Νομίζομεν δ' ὅτι εἶπεν ὁ Ξενοφῶν: ἄλλην τινὰ ὑπὸ τῆς θεοῦ *περιττῶς τετιμημένην*: Φαίνεται δ' ὅτι μεταγράφων τις τὸ *περιΤτῶς τεΤιμημένην* ἀπεπλανήθη ἀπὸ τοῦ πρώτου Τ εἰς τὸ τελευταῖον· ἀπολομένων δ' οὕτω τῶν μεταξὺ γραμμάτων καὶ τοῦ πρώτου Μ ἐξιτήλου ὁπωσδήποτε καταστάντος περιελείφθη τὸ ΠΕΡΙΤΙ:ΗΜΕΝΗΝ, ὅπερ ἀντὶ τοῦ ΠΕΡΙΠ::ΗΜΕΝΗΝ ἐκληφθὲν (ΤΙ=Π) ἀνεγνώσθη ἁπλούστατα καὶ εὐκολώτατα ΠΕΡΙΠΟΙΗΜΕΝΗΝ». Ἡμεῖς νομίζομεν ὅτι ὁ Ξενοφῶν ἔγραψε *περιτιομένην* (=περιττῶς τιμωμένην).

Ἐν σελ. 36,5 (Λόγ. Γ΄, 1,3) καὶ ἀλλαχοῦ γρ. *Ὑπεράνθει* ἀντὶ τοῦ *Ὑπεράνθη*. Πρβ. Γ΄, 3, 6 (σελ. 39, 2) *ὙπεράνθουΣ*.

ΕΙΣ ΤΟΥΣ ΦΥΣΙΟΓΝΩΣΤΙΚΟΥΣ

Παρ' Ἀδαμαντίῳ τῷ σοφιστῇ Φυσιογν. Β', 41 (Φυσιογν. Συγγρ. Τόμ. Α', σελ. 401, 7 Teubn.) φέρεται «πνεῦμα τὸ λίαν ἀτρεμοῦν, ὡς ἀπνόῳ ἐοικέναι, φροντιστοῦ ἀνδρός· ὁποία δὲ ἡ φροντίς, παρὰ τῶν ὀφθαλμῶν μάνθανε. Εἰ δ' ἀτρεμὲς ὂν ἐπὶ πολὺ ἀθρόως ἐπίοι (ἐμπνέοι; Foester) ὥσπερ ἐκ *παλιρροίας καὶ πλημμυρίδος* λύπη τινὶ συνέχεται».

Ἐπειδὴ τὸ «ὥσπερ *ἐκ παλιρροίας*» ἰσοδυναμεῖ τῷ «ὥσπερ ἐξ *ἀμπώτεως (—ιδος) καὶ πλημυρίδος*» ἢ «ὥσπερ ἐξ *ἀμπώτεως καὶ ῥαχίας*», ἵνα μὴ ὁ συγγραφεὺς λέγῃ τοιοῦτόν τι «ὥσπερ ἐξ ἀμπώτεως (-δος) καὶ πλημυρίδος καὶ πλημυρίδος» ἢ «ὥσπερ ἐξ ἀμπώτεως (-ιδος) καὶ ῥαχίας καὶ ῥαχίας», νομίζομεν ὅτι τὸ «*καὶ πλημυρίδος*» εἶναι προσθήκη ξένης χειρός. Ὅθεν γραπτέον «ὥσπερ ἐκ παλιρροίας λύπῃ τινὶ συνέχεται». Ἄριστα δ' ἐποίησεν ὁ Valckenaer παρὰ τῷ Ἡροδότῳ Η΄, 129 «*αἴτιον* δὲ λέγουσι Ποτειδαιῆται τῆς τε *ῥηχίης* καὶ τῆς *πλημυρίδος* καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε» ἐξαλείψας τὸ *πλημυρίδος* ὡς ἑρμήνευμα. Τὴν γνώμην τοῦ μεγάλου κριτικοῦ ἀπεδέξαντο πάντες οἱ νεώτεροι τοῦ Ἡροδότου ἐκδόται.

σελ. 308, 21 «*ἐπαίρουσι* δὲ τὰς ὀφρῦς». Σημειοῦται ὁ ἐκδότης «ἐπαίρουσι scripsi: ἐγείρουσι». Οὐδεὶς ἀρνεῖται ὅτι συνηθέστατα λέγεται *ἐπαί-*

ρειν τὴν ὀφρύν, τὰς ὀφρῦς, ἀλλὰ καὶ ἀδυνατοῦμεν νὰ μεταβάλωμεν τὸ *ἐγείρουσι* εἰς τὸ *ἐπαίρουσι.* Ὑπὸ τοῦ Θεμιστίου Λόγ. σελ. 136, 14 ἐλέχθη «οὐδὲ βαδίζουσι τὰς ὀφρῦς *ἐπηρκότες* μᾶλλον τῶν στρατηγῶν οἱ τοὺς λογισμοὺς διοικοῦντες» καὶ σελ. 303, 15 «καταβάλλοντες ἢ *ἐπαίροντες* τὴν ὀφρύν» ἀλλὰ σελ. 27 λέγει «τὸν μὲν δὴ ἐπὶ δήμου θορύβοις καὶ κρότοις ἐξογκούμενόν τε καὶ *ἐγείροντα* τὴν ὀφρύν».

ΕΙΣ ΙΩ. ΛΥΔΟΝ

Περὶ Μην. Δ΄, 97 (σελ. 139, 22) «ἐν Πέλταις τῆς Φρυγίας λίθον γενέσθαι ποτὲ τετράπεδον, ὅν δὴ νηνεμίας οὔσης τοὺς γεωργοὺς ὑποτιθέντας ξύλα στρογγύλα *ἐξαίρειν* καὶ ἀνέμους ποιεῖν· ἐφ᾽ ὅσον δ᾽ ἂν *ἐξηρέθη* ἡ λίθος, ἐπὶ τοσοῦτο δὴ ἰσχυρῶς ἀνατείνειν τοὺς ἀνέμους».

Διόρθου τάχιστα *ἐξαιρεῖν,* ὡς δεικνύει καὶ τὸ ἑπόμενον *ἐξηρέθη.* Καὶ παρὰ Θεοφάνει Χρονογραφ. σελ. 132, 32 De Boor γραπτέον «Ἀκάκιος δὲ ἀναισθήτως ἔσχε περὶ τὴν καθαίρεσιν καὶ τὸ ὄνομα Φήλικος *ἐξήρει* τῶν διπτύχων» ἀντὶ τοῦ *ἐξῆρε.* Πρβ. σελ. 133, 17 «τὸ ὄνομα τῶν Μογγῶν τῶν διπτύχων ἀπήλειψεν» (Ἴδε Ἀθηνᾶν Τόμ. ΛΔ΄, σελ. 87).

ΕΙΣ ΗΣΥΧΙΟΝ

«*Διοπλήκτην :* ἰσχυροπλήκτην».

Πῶς τὸ *διοπλήκτης* δύναται νὰ ἔχῃ τὴν ἔννοιαν τοῦ *ἰσχυροπλήκτης* ἀδύνατον ὑπάρχει νὰ ἐννοήσωμεν. Ἐν τῷ *ΔΙΟπλήκτην* λανθάνει, νομίζω, τὸ *ΑΙ(Ν)οπλήκτην,* τ. ἔ αἰνὰ πλήττοντα. Ἐν τοῖς Θηριακοῖς τοῦ Νικάνδρου στ. 517 φέρεται «*αἰνοπλῆγος* ἐχίδνης», τ.ἔ. τῆς *αἰνὰ πληττούσης* ἐνεργητικῶς Ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὅμοια τῷ *αἰνοπλήκτης, ἰσχυροπλήκτης* εὕρομεν τὸ *πλήκτης, ἐπιπλήκτης, ἐθνοπλήκτης, θαλασσοπλήκτης, ἱεροπλήκτης.* Σύνθετα εἰς *-πληξ* φέρονται οὐκ ὀλίγα, ὧν ἄλλα μὲν ἐνεργητικῶς, ὡς *ἀμφιπλήξ, βαθυπλήξ, βουπλήξ, γαστεροπλήξ* (Εὐστάθ. 1837, 39), *ὀξυπλήξ, καρτεροπλήξ, ὀρθοπλήξ,* ἄλλα δὲ παθητικῶς, οἷον *ἀκανθοπλήξ, ἁλιπλήξ, ἀπλήξ, ἀντιπλήξ, ἀστροπλήξ, ἡδονοπλήξ, ἡλιοπλήξ* (Herw. L. S. D. σελ. 1673), *ἡμιπλήξ, θεοπλήξ, θυρσοπλήξ, καταπλήξ, κυματοπλήξ, κωμοπλήξ, λινοπλήξ, μεθυπλήξ, νωτοπλήξ, οἰνοπλήξ, ὀνειροπλήξ, παμπλήξ* (Κουμ.), *παραπλήξ, σοροπλήξ, ὑδατοπλήξ, φρενοπλήξ, φωτοπλήξ (Mnemos.* 1888, 337) Ἴδε Lobeck *Paralip.* σελ. 279. Ἐν τῷ Προμηθεῖ τοῦ Αἰσχύλου στ. 877 φέρεται «ὑπό μ᾽ αὖ σφάκελος καὶ *φρενοπληγεῖς* μανίαι θάλπουσ᾽», ὅπερ διορθοῦται ὑπὸ τοῦ Cobet εἰς τὸ *φρενοπλῆγΕΣ.* Τῷ *φρενοπληγής* ὅμοιον ὑπάρχει τὸ *λινοπληγής,* ὅπερ φαίνεται ὅτι ἐλέχθη, ὡς ἐμφαίνεται ἐκ τοῦ *λινοπληγέστατος,* τοῦ ἀπαντῶντος παρὰ τῷ Νουμηνίῳ ἐν τοῖς τοῦ Ἀθηναίου σελ. 391, Β΄ « *λινοπληγέστατον* ἰχθύν » καὶ τὸ *νοοπληγής* παρὰ τῷ Τριφιοδώρῳ στ. 275 «*νοοπληγέσσιν* ἀτασθαλίῃσι δαμέντες», ὅπερ κακῶς

ἀναφέρεται εἰς τὸ *νοοπλήξ* ἐν τοῖς Λεξικοῖς. Παθητικῶς εὕρηται τὸ *θεοπληγής* καὶ τὸ *ὑδατοπληγής* παρ' Ὀππιανῷ Κυνηγ. 2, 142 «ὑδατοπληγέσιν ἄκραις», ὅπερ ἀναφέρεται ἐν τοῖς Λεξικοῖς εἰς ὀνομαστικὴν *ὑδατοπλήξ* (Ἴδε Lobeck *Paralip.* σελ. 288).

ΕΙΣ ΑΝΝΑΝ ΚΟΜΝΗΝΗΝ

ἐκδ. Teubn.

Τόμ. Α΄, 173, 25 «διὰ τὰ τῶν πεδίλων προάλματα καὶ δρόμον ἀνεπιτήδειον *εὐχειρότατός* τε τηνικαῦτα γίνεται καὶ ἀλλοῖος παντάπασιν ἢ πρότερον ὀκλαζούσης οἷον καὶ τῆς ψυχικῆς αὐτῷ προθυμίας».

Γρ. *εὐχειρωτότατος*. Ἐν Τόμ. Β΄, σελ. 295, 5 ἀντὶ τοῦ «καὶ τοῦτο τὸ ἔθνος τοιοῦτον ὂν *δυσφορώτατον* ὥσπερ ὄφιν ἐμφωλεύοντα τῇ χειᾷ ἐπῳδῶν ἴυγξιν ἀπορρήτοις ὁ ἐμὸς πατὴρ εἰς φῶς ἐξεκαλέσατο καὶ ἐξήνεγκεν» γραπτέον *δυσφώρατον*. Πρβ. Τόμ. Α΄, σελ. 37, 22 «ὑπορύττει δόλον αὐτῷ δεινὸν καὶ *δυσφώρατον*». Ἴδε τὰ ὑφ' ἡμῶν γεγραμμένα ἐν Ἀθηνᾷ Τόμ. ΛΖ΄, σελ. 100.

σελ. 216, 28 «μετὰ δὲ τὴν τούτου ὑποχώρησιν *ἑνδεκατέσσαρσιν* ἡμιόνοις χρυσίον ἐπισάξας—ἀπέρχεται».

Γρ. «*ἐν δεκατέσσαρσιν ἡμιόνοις* χρυσίον ἐπισάξας—ἀπέρχεται». Πρβ. Τόμ. Β΄, 139, 3 «ἑνωθεὶς καὶ βρώσιμα ἐπισάξας *ἐν ἡμιόνοις*».

σελ. 240, 17 «ἦν δ' ἄρα οὗτος παρρησιαστικὸς τὴν ψυχὴν καὶ ἀληθῆ χαρακτῆρα ἐμφαίνων ἀρχιερέως, φρονήματος μέντοι *ἁπλοωτέρου*».

Ἴσως γρ. *ἁπλοϊκωτέρου*». Ἴδε Κόντον ἐν Ἀθηνᾷ Τόμ. ΙΘ΄, σελ. 513.

Τόμ. Β΄, σελ. 8, 17 «καὶ τηνικαῦτα ἐν ἀμφιρύκῳ εἰσελθὼν καὶ παραδραμὼν τὴν τοῦ ὅλου ποταμοῦ θέσιν — ὑπέστρεψε» καὶ σελ. 250, 8 «ἐν *ἀμφιρύκῳ* εἰσελθὼν περὶ μέσην φυλακὴν τῆς νυκτός». Ἐν σελ. 9, 9 φέρεται «ἐν *ἀμφιρύκῳ πλοίῳ* εἰσελθὼν καὶ παραπλεύσας τὸν ποταμόν».

Θαυμαστὸν ὅτι δὲν κατεχωρίσθη εἰς τὸ κείμενον ἡ τοῦ L. Dindorf διόρθωσις *ἀμφηρικῷ*, ὃ παρὰ Θουκυδίδῃ ἀπαντᾷ σημαῖνον πλοιάριον ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ ἕκαστος τῶν ἐλαυνόντων δικωπίᾳ ἐρέττει» (Ἴδε Θησ. Στεφ. Τόμ. Α΄, β΄, σελ. 194 Α΄).

σελ. 34, 20 «οὗτος γὰρ τὴν αὐτοῦ *διωκὴν* παρὰ τοῦ Δούκα ἐπετέτραπτο».

Παριστορήματα ὀφειλόμενα εἰς μνημονικὸν ἁμάρτημα παρὰ τῇ Ἄννῃ τῇ Κομνηνῇ (Τόμ. Α΄, σελ. 213, 16. 25. καὶ 246, 26) δύναταί τις νὰ παρατηρήσῃ, ἀλλ' ἀκριβῆ, καθόλου εἰπεῖν, βλέπω αὐτήν, ὁσάκις λεξιθηρεῖ ἐκ τῶν Ὁμηρικῶν ἐπῶν. Οὐδεμία ἀμφιβολία ὅτι ἡ Ἄννα ἔγραψεν *ἰωκὴν* ἀντὶ τοῦ *διωκήν*. Τὸ *διωκή* ἐγεννήθη ποτὲ ἐκ τῆς κεφαλῆς γραμματικοῦ γράφοντος «Ἰωκή: Λείπειν σύμφωνα, ὅπου γέ φαμεν τὴν *ἰωκὰς διωκὰς* εἶναι» (Βεκκ. Ἀνεκδ. 525, 3).

σελ. 283, 10 «ἀλλὰ παρὰ μικροῦ—ἐρρύσθη».

Γρ. «παρὰ μικρὸν—ἐρρύσθη». Ἐν σελ. 85, 11 φέρεται σολοίκως «ὥσπερ ὁ Ἕκτωρ ἐκεῖνος ὑπὸ τῆς τοῦ λίθου βολῆς τοῦ Αἴαντος *μικροῦ δεῖν ἐψυχορράγει*».

σελ. 192, 15 «ἐπὰν (ἐν) στενωπῷ τοῖς ἐχθροῖς ἐντύχοι, ἀκάθεκτος γίνεται».

Οὐδεμία ἀνάγκη τῆς προσθήκης ὑπάρχει. Πρβ. σελ. 301, 14 «ἐκείνους δὲ πάλιν εἱρκταῖς εἶχε» ἀλλὰ 23 «ἐν εἱρκταῖς κατεχόμενοι».

σελ. 248, 7 «πῦρ ἐκ μέρους τοῦ καλαμῶνος *ἀφῆναι* ἐπέταξε».

Γρ. *ἀφθῆναι*.

σελ. 256, 8 γρ. *παριστρίας* ἀντὶ τοῦ *παρίστρας*.

σελ. 287, 30 «τῇ δ' ἀληθείᾳ *πάγας* αὐτῷ * καὶ βόθυνον ὀρύττων ξυνεβούλευε μὴ κτέ.».

Ἐν Τόμ. Α΄, σελ. XXVI σημειοῦται ὁ ἐκδότης «deest verbum ad πάγας aptum».

Τὸ aptum ad πάγας verbum καθ' ἡμᾶς ὑπάρχει τὸ *ἱστάναι* «τῇ δ' ἀληθείᾳ *πάγας* αὐτῷ *ἱστὰς* καὶ βόθυνον ὀρύττων» εἶπεν Ἄννα ἡ Κομνηνή. Γνωστὸν ὑπάρχει τὸ ῥητὸν «Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται, καὶ *ὁ ἱστῶν παγίδα* ἐν αὐτῇ ἁλώσεται (Σειρὰχ κζ΄, 26) καὶ ἡ παρὰ Μακαρίῳ 586 παροιμία «*πάγην ἱστὰς* ἐν πάγῃ ληφθήσῃ» (Ἴδε Νικ. Πολίτην ἐν τῇ ἐκδόσει τῶν Παροιμιῶν Τόμ. Α΄, σελ. 562).

Ὑπὸ τοῦ πατρὸς τῆς Ἱστορίας ἐρρήθη «πάγας προστάξαι ἐργάσασθαι καὶ *ταύτας (τὰς πάγας)* περὶ τὰ ἀγγήια ἐν τοῖσι τὰ χρήματα ἐνῆν *στῆσαι*» (Β΄, 121). Πρβ. καὶ Χάρακ. Σχολ. Ἀριστοφ. Νεφ. 508 (σελ. 105, 34 Dübn.). «ὁ δὲ *παγίδας ἔστησεν*, αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται» καὶ Παυσ. Βοιωτ. ΛΖ΄΄ 6 «*ἵστησιν* οὖν ὑπὲρ τῶν ἀγγείων, ἐν οἷς ὅ τε ἄργυρος ἐνῆν καὶ ὁ χρυσός οἱ, *πάγας* ἤ τι καὶ ἄλλο, ὃ τὸν ἐσελθόντα καὶ ἁπτόμενον τῶν χρημάτων καθέξειν ἔμελλεν» καὶ Ἀλκίφρ. Ἐπιστολ. Γ΄, 22 «*πάγην ἔστησα* ἐπὶ τὰς μιαρὰς ἀλώπεκας κρεάδιον τῆς σκανδάλης ἀπαρτήσας» καὶ Αἰσωπ. Μύθ. σελ. 463, 1 Budé «ἐν τῇ ἀρούρᾳ γεωργὸς *πάγας ἵστη*» καὶ σελ. 464, 1 «ἐν τῇ ἀρούρᾳ γεωργὸς *πάγας ἵστα*» καὶ σελ. 465, 1 «*παγίδας* γεωργὸς *ἔστησε*» καὶ «*παγίδας* γεωργὸς *ἐστήσατο*» καὶ σελ. 459, 1 «ὀρνιθοθήρας πτηνοῖς *πάγην ἵστη*» καὶ σελ. 460, 1 «ὀρνιθοθήρας πτηνοῖς *παγίδας ἵστη*» καὶ σελ. 461, 1 «ὀρνιθοθήρας ὄρνισιν *ἵστη παγίδας*» καὶ «ὄρνιθὰς θηρῶν *ἵστησί* τις *παγίδας*». Ἐν σελ. 465, 5 ἔγραψεν ὁ μυθογράφος «*βρόχους στήσας*». Πρβ. Λόγγ. Ποιμ. Γ΄, 6 «τούς τε *βρόγχους ἔστησε* καὶ τὸν ἰξὸν ῥάβδοις μακραῖς ἐπήλειψε» καὶ 10 «πάλιν *βρόχους στήσαντες*». Εἶπε δὲ καὶ ὁ Ἀριστοφάνης Ὄρν. 527 «πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτὴς *ἵστησι βρόχους, παγίδας, ῥάβδους, ἕρκη*, νεφέλας, *δίκτυα*, πηκτάς» καὶ Ἀχαρν 687 «*σκανδάληθρ' ἱστὰς* ἐπῶν», ὁ δὲ Ἄλεξις Ἀποσπ. 409 «τοῖς ἄρτοις ὅσας *ἱστᾶσι παγίδας* οἱ ταλαίπωροι βροτοί».

Ὡς δ' ἐλέχθη *πάγην—πάγας—παγίδας ἱστάναι*, οὕτω καὶ *ἄρκυς ἱστάναι*

ὑπὸ τοῦ Ξενοφῶντος Κυνηγ. ϛ΄, 5 «τὰς δὲ *ἄρκυς ἱστάτω* εἰς ἀμφιδρόμους τραχείας». Πρβ. ϛ΄, 2 «οὐδὲ *αἱ ἄρκυες ἑστάναι* οὐδὲ τὰ δίκτυα» καὶ Ι΄, 16 «*ἵστανται* μὲν αὐτοῖς αἱ *ἄρκυες* ἐπὶ τὰς διαβάσεις τῶν ναπῶν εἰς τοὺς δρυμούς». Ἐλέχθη δ' ἔτι ὑπὸ τοῦ Ξενοφῶντος ἐν τῷ Κυνηγετικῷ καὶ «*ἵστανται* δὲ καὶ *ποδοστράβαι* ταῖς ἐλάφοις» καὶ «*ἱστάναι* δὲ τὰς ποδοστράβας διελόντα τῆς γῆς βάθος πεντεπάλαστον» (Θ΄, 11 καὶ 14), ὑπὸ δὲ τοῦ Ἀκροπολίτου Τόμ. Α΄, σελ. 246, 21 «*ἐπιβουλήν* τινες — *ἱστῶσι*». Ὑπὸ τοῦ Πολυδεύκους Ε΄, 35 λέγεται «φαίης δ' ἂν *στήσασθαι τὰς ἄρκυς, ἐνστήσασθαι, περιστήσασθαι*, περιβαλεῖν, περιβαλέσθαι, κτλ». Ἐσχηματίσθη δ' ἐκ τοῦ *ἄρκυς* καὶ τοῦ *ἵστασθαι* τὸ σύνθετον *ἀρκύστατος-ἀρκυστασία*. Πρβ. *λινοστατεῖν-λινοστασία*. Λέγεται δ' ἐν τῇ κοινῇ γλώσσῃ *στήνω βρόχια, στήνω ξόβεργες*, κτλ. «καὶ πιάστηκα στὸ *βρόχι* ὡσὰν τὸ *στένη* ὁ κυνηγός» (Ἐρωτοκρ. Α΄, 991 κ. ἀ.). Ἴδε Κοραῆν ἐν Ἀτ. Δ΄, 378.

Ἐν σελ. 292, 13 γρ. «ἔγειρΑΙ καὶ περιπάτει» ἀντὶ τοῦ *ἔγειρΕ* καὶ σ. 295, 22 γρ. κατήγγελλον (Ἴδε Ἀθηνᾶν ΚΒ΄, σ. 320). καὶ σ. 298 22 γρ. ἐτετρΙγεσαν ἀντὶ τοῦ *ἐτετρΥγεσαν* (Ἴδε *Ποικίλ. Φιλ.* Α΄, σελ. 230-237 καὶ σ. 859 καὶ Ἀθην. Ιϛ΄, σελ. 606 κἑ.).

ΕΙΣ ΤΑΣ ΧΙΛΙΑΔΑΣ ΤΟΥ ΤΖΕΤΖΟΥ

ἐκδ. Kissling

Α΄, 878 «λαοῦ πληθὺς *ἀπόμαχος*, μάχιμος σκευοφόρος ὡς μυριάδες σύμπαντες ἐγγὺς πεντακοσίων».

Γρ. *ἀπρόσμαχος*. Τὸ αὐτὸ σφάλμα εὕρομεν καὶ ἐν Θ΄, 547, ἔνθα ἀντὶ τοῦ «ἐξ *ἀπομάχου* φάραγγος σὺν τοῖς κρημνοβατοῦσιν» γραπτέον «ἐξ *ἀπροσμάχου* φάραγγος».

στ. 995 γρ. «ὧνπερ οἱ πλείους θνήσκουσι κρυμ[ν]ῷ, λιμῷ, πορείᾳ».

Β΄, 301 «σὺν ὅπλους δὲ δραμόντας τοὺς Διομήδους ἅπαντας ἀπέκτεινε καὶ τοῦτον».

Γρ. *σὺν ὅπλοις* ἢ *ἐνόπλους*. Συχνάκις ἐν τοῖς ἀντιγράφοις συγχέονται αἱ προθέσεις ΣΥΝ καὶ ἘΝ.

στ. 610 «οὐδ' *ἦν* Ἰφίκλοιο θοώτερος αὐδάζοιο».

Ὁ ἐκδότης σημειοῦται «Pro αὐδάζοιο videtur legendum esse *αἰζηοῖο* nisi versus initium est depravatum». Γρ. «οὐδ' *ἦν* Ἰφίκλοιο θοώτερος αὐδάζοιο». Πρβ. Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 344, 2.

Γ΄, 235, «Μὴ πλούτῳ καὶ τοῖς χρήμασι καὶ τοῖς λοιποῖς ἁβρύνου, *ἔτι* τὸ τέλος ἄδηλον, ὃ βίους διακρίνει».

Γρ. «ἴσως» *ἐπεὶ* τὸ τέλος ἄδηλον κτἑ».

στίχ. 330 γρ. ὑφὲν «ὡς τραγῳδήσαιμι τὸ βαρυσύμφορόν μου». Πρβ. στ. 335 «ὑπερνικῆσαι σύμπαντας *βαρυσυμφορωτάτους*».

στ. 513 «λαβὼν οἰκέτην τῶν πιστῶν, οὗ κεφαλὴν ἐγξύρας Καὶ γράψας γράμματα στικτά, ἐάσας τε κομάσαι, Πέμπει κτἑ».

Γρ. *κομῆσαι* ;

στ. 827 «ᾧ γῆν δωρεῖται ἡ βουλὴ χάριν ἀνδραγαθίας, Ὅσην ἡμέραν γράψειε βόας ἑλὼν ἀρότρῳ».

Γρ. *ἐλῶν* = *ἐλαύνων*. Ἴδε ὅμοιον σφάλμα ἐν Αἰσωπ. Μύθ. 141, ε', 1, ἔνθα ἐγράψαμεν *ἐλῶντος* ἀντὶ τοῦ «ὄνον καὶ ἵππον *ἑλόντος*».

στ. 998 «μικροῦ δεῖν *ἐναπέκτεινε* τὸν Κύπρον βασιλέα, Εἰ μὴ δρεπάνοις ἔκοψαν ὑπασπισταὶ τοὺς πόδας». Ὀρθῶς ἐν Δ', 636 «*ἂν ἀπέκτεινεν*».

Δ', 179 γρ. «μέθη δεδμημένος *αἰνῇ*».

στ. 801 «ὡς οἱ σωματοφύλακες ἦλθον τοῦ βασιλέως, Προτρέχει τὰ βρεφύλλια καὶ βέκος ἤτει τούτοις».

Γρ. *προΣτρέχει*.

Ε', 714 «*ΕὖΤε* τοῦ πόνου τοῦ ἡμῶν καὶ τοῦ ὑμῶν δὲ τρόπου· Εἰ δ' οὔ, ὁ Τζέτζης μάταιος κτέ».

Γρ. «*εὖΓε* τοῦ πόνου κτέ». Πρβ. στ. 873 «εὖγε ὡς ἐσωφρόνησαν· εἰ δ' οὔ, κατάκουέ μου».

ϛ', 39 «τὴν δ' ἐργασίαν ἥν φησι τριῶν ἐκτρυπημάτων» καὶ στ. 45 «τὸ ἔργον Νέαιραν τελεῖν τριῶν ἐκτρυπημάτων».

Γρ. «τριῶν ἐκ τρυπημάτων», ὡς ἤδη πάλαι διωρθώθη ἐν τῷ Θησαυρῷ Τόμ. Γ', σελ. 613 c ὑπὸ τοῦ L. Dindorf.

στ. 130 «καὶ τίς τελῶν καὶ πόθεν ὢν ὑπὲρ αὐτῶν φυσᾶται Καὶ τὰς ὀφρύας ἀνασπᾷ καθάπερ ὁ Κριτίας».

Μήτι γρ. «φυσᾷ τε καὶ τὰς ὀφρύας ἀνασπᾷ»;

στ. 687 «ῥᾶδε καὶ πόνον δίκα δὲ λαβὼν τὴν βασιλείαν».

Γρ. «ῥαδίως πόνου δίχα δὲ κτέ».

στ. 958 «Μυῖα οὐκ ἐπικάθηται μέλιτι Ὑμηττίῳ· Ἐκ θύμου γὰρ αἱ μέλισσαι τοῦτο κηροποιοῦσι. Μυῖα γοῦν ἐνιζήσασα φεύγει θύμῳ τοῦ θύμου».

Γρ. «*δριμυγμῷ* θύμου», ὡς ἐν ΙΑ', 374 «ὅπερ αἱ μυῖαι φεύγουσι τῷ *δριμυγμῷ* τοῦ θύμου». Ἀλλ' ἴσως ὁ Τζέτζης τῇ παρηχήσει παίζων ἔγραψε «θυμῷ τοῦ θύμου».

Θ', 297. Καὶ τυφλῷ δῆλον ὅτι γρ. «πρὸς τὸ αὐτοῦ Σκληρόψυχον ἔγραψα τὰ γραφέντα».

στ. 496 «πολλὰ μὲν συνεγράψατο καὶ ἕτερα βιβλία, Ἐν τῷ ἑνὶ ἐνέτυχον τῷ εἰς κατηγορίας».

Γρ. «ἐν ὧν ἑνὶ ἐνέτυχον τῷ εἰς κατηγορίας» ;

στ. 986 «ταῦτα γελώτων ἄξια ταῦτα περιπαικτέα πᾶσιν».

Γρ. «ταῦτα γελώτων ἄξια, περιπαικτέα πᾶσιν». Τὸ *ταῦτα* δὶς ἐπανελήφθη.

Ι', 623 «δείξας τινὰ στρεβλόποδα καὶ *παρυιὸν* ἐκ *νόσου*».

Γρ. «*πάρετον* ἐκ νόσου».

ΙΑ', 2 «τὴν Φιλολάου μὲν εἰς μνᾶς *ἑκατὸν τάδε* πλήρη».

Γρ. «*ἑκατοντάδα πλήρη*».

ΙΒ', 61 «παρὰ Σαμίοις εὕρηκα πρῶτος ἀναγνωσθῆναι».

Γρ. *πρώτως*

στ. 165 «Ἡσίοδος ὁ πρότερος κατά τινας Ὁμήρου, Κατά τινας δ' ἰσόχρονος, ὕστερος καθ' ἑτέρους, Κατὰ ἡμᾶς τὸν Τζέτζην δέ, *τὰς τζόχας μοῦ τὰς μίας*».

Ἀποσιωπῶν τὰ εἰκαιολογήματα τοῦ ἐκδότου νομίζω ὅτι ὁ Τζέτζης ἔγραψε «Κατὰ ἡμᾶς τὸν Τζέτζην δὲ *τοῦ στοχασμοῦ* ἢ *τῶν στοχασμῶν ταμίαν*». Γνωστὸν δὲ τοῖς πᾶσι τυγχάνει τὸ *καυχητικὸν* καὶ ἀλαζονικὸν τοῦ Τζέτζου. Ἴδε Α΄ 267-276. 290. 845. Γ΄, 170 κέ. Ζ΄, 504 κέ. Η΄, 180 κ.τ.λ.

αὐτ. 304 «ἐπ' ἀντιστρεφομένων δὲ λέγομεν τὸ αἰτεῖσθαι. Οὐ πῦρ αἰτῶ γὰρ λέγομεν, οὐδὲ *λοιπὰ δ'* αἰτοῦμαι».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α΄, α΄, σελ. 1092 Διδ. λέγεται «Quæ non intellexit novissimus editor. Pro *λοιπά δ'* leg. *λοπάδ'*: e, Menandro enim petita sunt ultima verba». Ἴδε καὶ Nauck ἐν *Mél. Gréco-Rom.* Τόμ. ϛ΄, σελ. 109.

στ. 337 «Τοὺς σάκκους δὲ πληρώσαντες, ἄξαντες τὰς καμήλους, Φεύγουσι διωκόμενοι τοῖς μύρμηξιν ἐκείνοις».

Πολλάκις ὁ Τζέτζης ποιεῖται χρῆσιν τοῦ συνήθους τοῖς μεταγενεστέροις ἀορίστου *ἦξα* τοῦ ῥήματος *ἄγω*, ἀλλ' ἐνταῦθα οὐδαμῶς ἁρμόζει. Προστεθήτω ἐν ἀρχῇ τοῦ *ἄξαντες* τὸ τελευταῖον τοῦ *πληρώσαντες* γράμμα καὶ θὰ ἔχῃς τἀληθές. Γρ. «*σάξαντες* τὰς καμήλους».

στ. 463 «ὃς καὶ *βραχὺς* παρά τισιν ἡμέρας ἐκαρτέρει».

Γρ. «ὃς καὶ *βραχεῖς* παρά τισιν *ἡμέρας* ἐκαρτέρει» κατὰ τὴν τῶν μεταγενεστέρων συνήθειαν». Πρβ. Σχολ. εἰς Λυκόφρ. σελ. 112,19 Scheer «ὁ γὰρ κανὼν τῶν *ληγόντων μετοχῶν*». Ἐν τοῖς εἰς Εὐκλείδην Σχολίοις Τόμ. Ε΄, σελ. 194,8 λέγεται «εἰ μὲν *αἱ ἡμίσεις* τοῦ ἑτέρου *πλευραὶ* ταῖς ὁμολόγοις τοῦ ἑτέρου παραλληλογράμμου ἴσαι, ἴσα ἔσονται» (Ἴδε τὰ ὑφ' ἡμῶν γεγραμμένα ἐν τοῖς εἰς τοὺς Αἰσωπείους Μύθους Διορθωτικοῖς 239, β΄, 15.

ΕΙΣ ΨΕΛΛΟΝ

ἐκδ. Budé

Τομ. Α΄, σελ. 5, 4, 11 γρ. «*συννενΟφὼς* ἀεὶ καὶ ἐγρηγορώς» ἀντὶ τοῦ *συννενΕφώς*.

σελ. 45, 20 «ἡ δὲ βασιλίς, ὥσπερ τινὶ *συμμέτρῳ* φωτὶ τῷ ἐκείνου κάλλει τοὺς ὀφθαλμοὺς ἀναφθεῖσα, ἑαλώκει κτἑ».

Ὁ νοῦς ἀπαιτεῖ «ὥσπερ τινὶ *ἀσυμμέτρῳ* φωτὶ κτἑ.».

σελ. 52, 43 «ὡς δὲ συνελαμβάνετο ἔτι οὐδείς, μύσας τοὺς ὀφθαλμοὺς πυκνότερον ἐπήσθμαινεν· εἶτα δὴ ἀθρόον *ἀναρραγέντος* ὑπεκχεῖται διὰ τοῦ στόματος μελάντερόν τι τὴν χρόαν καὶ πεπηγός, ἐφ' ᾧ δὴ δὶς καὶ τρὶς ἀσθμάνας τὴν ζωὴν ἀπολείπει».

Πῶς ἐγένετο ἡ ἀθρόα ἀνάρρηξις ἰατρῶν παῖδες μέχρις ἂν εἴπωσιν, ἡμεῖς γράφομεν «εἶτα δὴ ἀθρόον *ἀνερυγόντος* ὑπεκχεῖται διὰ τοῦ στόματος κτἑ.».

σελ. 58, 15 «*οὐΧ οἷον* νουθετῶν, ἀλλὰ καὶ πικρῶς ἐπιτιμῶν».

Γρ. *οὐΚ οἷον* (= οὐ μόνον) νουθετῶν, ἀλλὰ καὶ πικρῶς ἐπιτιμῶν».

σελ. 73, 14 «ἀπορρύπτων μὲν αὐτῶν τὼ πόδε *κεκονιαμένω*, ἔπειτα δὲ κτἑ».

Γρ. *κεκονιμένω*

σελ. 82, 5. Ἡ διόρθωσις «τὸ σπλάγχνον *κεκάκωτο*» ἀνήκει τῷ Κόντῳ ἐν Ἀθηνᾷ 1889, Τόμ. Α΄, σελ. 357.

σελ. 94, 16 γρ. «διαλέλυτο γοῦν αὐτοῖς παντάπασιν ὁ τῆς φιλίας *Δεσμός*». Πρβ. στ. 18 «οὐ *δεσμοῖς* εὐνοίας κρατούμενον».

σελ. 105, 9 γρ. «εἴ τις αὐτοῖς *Ὑπαντιάσοι*» ἀντὶ τοῦ Ἀπαντιάσοι.

αὐτ. στ. 11 γρ. «*εἰσίασι* τῷ κινδύνῳ βασιλεῖ βοηθήσοντες» ἀντὶ τοῦ *εἰσιᾶσι*.

σελ. 105, 14 γρ. προυτίθΕΙ.

σελ. 112, 16 γρ. *ἐξεκεκωφήκεισαν* ἀντὶ τοῦ *ἐξεκεκώφεισαν*.

σελ. 120, 13 «Ἡ δέ γε Θεοδώρα ἐπιμηκεστέρα τε τὴν ἡλικίαν ἐτύγχανεν οὖσα, καὶ *περιεπτισμένη* τὸ σῶμα».

Ἡ διόρθωσις καὶ *περιεπτισμένη* ἀντὶ τοῦ καὶ *περοπτισμένη* ἀνήκει τῷ Κόντῳ (Ἀθηνᾷ Α΄, 358), οὐχὶ τῷ Πανταζίδῃ.

σελ. 123, 17 γρ., ὡς ὁ Κόντος ἔγραψεν ἐν τῇ Ἀθηνᾷ Τομ. Α΄, σελ. 358 «ἀλλ' ὁ μὲν ἔστεργε τὴν *τύχην*, ὁ δὲ καιρὸς τοῦτον ἐκάλει πρὸς τὴν ἀρχήν» ἀντὶ τοῦ *ψυχήν*.

σελ. 143, 3 «οὔτε γὰρ ἀτράκτῳ ποτὲ τὰς χεῖρας ἠσχόλησεν οὔτε ἱστουργεῖν *ἐπεβάλλετο*, οὔτε ἄλλου τινὸς *ἐπεβάλλετο*».

Ὁ Κόντος ἐν τῇ Ἐπετηρίδι τοῦ Πανεπιστημίου 1908-1909, σελ. 31 ἔγραψεν «οὔτε ἱστουργεῖν *ἐπεβάλετο* οὔτε ἄλλου τινὸς *ἐπελάβετο*».

σελ. 151, 7 «ὁ γάρ τοι λόγος τοῦ περὶ τὴν σεβαστὴν ἁψάμενος πράγματος, καὶ φιλοτιμηθεὶς δι' ὅλου τὴν περὶ ταύτης ἱστορίαν *ἐμφανΗθῆναι*, πολλὰ τῶν ἄνω ταύτης ἀξιολογουμένων παρῆκεν».

Γρ. *ἐμφανΙΣθῆναι* ἢ *ἐμφανῆ θεῖναι*.

σελ. 151, 11 γρ. *ἐπανίωμεν*.

ΕΙΣ ΝΙΚΗΦΟΡΟΝ ΓΡΗΓΟΡΑΝ

ἐκδ. Budé

σελ. 43, 23 «ἀλλ' οὖν ἐς τὸ κάταντες ἰὼν (ὁ Ἀξιὸς) καὶ ἄλλοις χειμάρροις τὸ ῥεῦμα *κΙνούμενος* καὶ ἐς Βαρδάριον μετατιθέμενος τοὔνομα, ἤδη καὶ ναυσιπόρος (γρ. ναυσίπορος) ἐνίοτε καὶ ἐνιαχοῦ καθίσταται».

Οὐδεμία ἀμφιβολία ὑπάρχει ὅτι ἀντὶ τοῦ *κΙνούμενος* πρέπει νὰ γραφῇ *κΟΙνούμενος*. Πρβ. Θεοφύλ. Σιμ. σελ. 150, 8 de Boor «ὁ Σάβας *κοινοῦται* τῷ Τίγριδι».

σελ. 77,10 γρ. «αὐτοῦ δ' *ἀπολαύωμεν* καθ' ὅσον *Ἐφικτὸν* ἑκάστῳ» ἀντὶ τοῦ *ἀπολάβομεν* καθ' ὅσον *Ἀφικτόν*».

σελ. 63,7 γρ. «τὴν δὲ τούτων δήλωσιν *ἐν ἀπορρήτοις* σε νομίζειν εἶναι χρεών» ἀντὶ τοῦ *ἀναπορρήτοις*,

σελ. 143, 14 γρ. *ἔκπυστα* ἀντὶ τοῦ *ἔκπιστα*.

σελ. 169, 34 γρ. «τὴν σὴν οἰκίαν *περιιόντι* καὶ παριόντι» ἀντὶ τοῦ *περιόντι*.

σελ. 175, 3 γρ. «ταῖς ἐνούσαις νόσοις καὶ *κηρσίν*» ἀντὶ τοῦ *κήρσιν*.

σελ. 191, 19 γρ. *Μέλητοι* ἀντὶ τοῦ *Μέλιτοι* (Ἴδε Κόντον ἐν *Ἀθην*. Τόμ. ΙΖ΄, σελ. 460 κἑ.).

σελ. 199, 19 γρ. «ἢ εἴ τι βέλος ἄλλου χάριν ἐκριφέν, ἐπ' ἄλλον *ἐληλύθει*» ἀντὶ τοῦ *ἐλελύθει*.

σελ. 203, 29 «ἄλλοις μὲν ἂν εἴη *περιφροντισμένον* καὶ εἰρημένον». Γρ. *πεφροντισμένον*.

σελ. 235, 17 γρ. «ἐπὶ μήκιστον βιῶναι *σὺν εὐθυμίᾳ* μακρᾷ» ἀντὶ τοῦ *συνευθυμίᾳ*. Πρβ. σελ. 243, 6 «εἴης δ' ἡμῖν αὐτὸς ἐς μακροὺς τοὺς ἡλίους *σὺν εὐθυμίᾳ* ζῶν».

σελ. 257, 18 γρ. «τὰ δ' ἄλλα σκιᾶς δίκην ὁπόσα *νενομοθετήκασιν* ἄνθρωποι» ἀντὶ τοῦ *νενομοθήκασιν*.

σελ. 261, 4 «συντυχὼν καὶ τοῦ κατὰ θεὸν ζήλου τὰ σύμβολα συνιδὼν ἐκεῖ, τὸ τῆς σῆς ὁπώσποτε ψυχῆς *ἀνιμησάμην* ἦθος».

Ἔγραψεν ὁ Guilland *ἀνιμησάμην* ἀντὶ τοῦ ἐν τοῖς κώδιξι φερομένου *ἀνεμαξάμην* ἄνευ ἀνάγκης. Πρβ. Ἀριστείδ. Τόμ. Β΄, σελ. 98 «οὐ τὸ ἀναιδέστατον ἦθος τὸ τοῦ κόλακος λαμβάνων ἐν τῇ ψυχῇ καὶ *ἀναματτόμενος*» καὶ Διογ. Λαέρτ. Β΄, 3, 61 «οἱ δ' οὖν τοῦ Αἰσχίνου τὸ Σωκρατικὸν ἦθος *ἀπομεμαγμένοι* εἰσὶν ἑπτά». Ἀλκίφρ. Γ΄, 64 «ὁ δὲ παῖς ἐς τὸ ἀκριβέστατον *ἐξεμάξατο* τὸν διδάσκαλον». Καὶ ἃ παρακατιὼν λέγει ὁ Γρηγορᾶς «Εἰκόνες γάρ πως οἱ λόγοι γίνονται τῆς ψυχῆς κτἑ» συνηγοροῦσιν ὑπὲρ τῆς παραδεδομένης γραφῆς *ἀνεμαξάμην*. Πρβ. Ἀνθ. Παλατ. Ις΄, 120, 1 «Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν *ἀπεμάξατο* μορφὰν Λύσιππος». Φιλόστρ. Βί. Ἀπολλων. ς΄, 19 «οἱ Φειδίαι καὶ οἱ Πραξιτέλαι ἀνελθόντες ἐς τὸν οὐρανὸν καὶ *ἀπομαξάμενοι* τὰ τῶν θεῶν εἴδη τέχνην αὐτὰ ἐποιοῦντο». Εὐστάθ. Μικρ. Συγγρ. σελ. 62, 17 «ᾧ δὴ χαρακτῆρι προσέχοντες *ἐκματτόμεθα* τὸ τύπωμα καὶ κατ' εἰκόνα τοῦ πρωτοτύπου γινόμεθα» (Ἴδε Θησ. Στεφάνου λ. *ἀναμάττω, ἀπομάττω, ἐκμάττω* καὶ Blaydes ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Βατράχων σελ. 413).

Σφάλματα περὶ τοὺς τόνους καὶ τὴν γραφὴν οὐκ ὀλίγα παρετήρησεν ὁ V. Laurent ἐν *Échos d'Orient* 1927, σελ. 352-353, πολλῷ πλείονα καὶ καιριώτερα ἔχομεν ἡμεῖς, ἃ φεύγομεν νὰ καταχωρίσωμεν, ἀλλ' εἴμεθα πρόθυμοι νὰ χορηγήσωμεν τῷ ἐκδότῃ, ὁπόταν ἐθέλῃ. Καλὸν εἶναι ὁ Budé νὰ ἐπιστήσῃ τὸν νοῦν, ὥστ' ἐν ἄλλαις ἐκδόσεσι νὰ μὴ κυλίνδωνται τοσαῦτα ἁμαρτήματα, δι' ὧν οἱ Ἕλληνες ξενίζοντες καὶ τὸν Ἀριστοφάνους Σκύθην ὑπομιμνῄσκοντες παρίστανται.

ΕΙΣ ΝΙΚΗΦΟΡΟΝ ΒΛΕΜΜΙΔΗΝ

σελ. 47, 25 «καὶ πῶς ἂν καταδεξαίμην ὃ μὴ προσπέφυται;». Γρ. *προσπεφύ(τευ)ται*.

σελ. 65, 22 «μὴ ὢν γὰρ προαιωνίως δοτὴρ τοῦ πνεύματος καὶ προαιω-

νίως τῆς κτίσεως δημιουργός, οὐδ᾽ ὑστέρως δεδύνοιτ᾽ ἂν ἢ τὸ πνεῦμα διδόναι τοῖς ἀξίοις κτἑ».

Γρ. *δεδύνητ᾽ ἂν*.

σελ. 91, 20 «ὁ σοφός τε καὶ κραταιὸς ἡμῶν ὑπερήγορος καὶ προασπιστὴς ὡς ἀχύρου χνοῦν ἐξ ἅλωνος ὑπὸ θερινῆς λαίλαπος οὕτως ἐκ τῆς βασιλικῆς διανοίας ὑπὸ πνεύματος ἐπισκήψεως οἵας οἶδεν αὐτὸς *ἐκλιμᾷ* καὶ διασκεδάννυσι τοὺς τῆς κακορρημοσύνης σωρούς».

Γρ. «*ἐκλιΚμᾷ καὶ διασκεδάννυσι*». Τὸ αὐτὸ φάρμακον καὶ σελ. 107, 193 δοθήτω «κἂν οὗτος ἐπὶ σὲ πέσῃ, συντρίψας *ἐκλιΚμήσοι*» (Ἴδε Herwerden ἐν *Lex. Graec. Suppl. et Dial.* σελ. 891).

σελ. 22, 1 γρ. *λιθολεύστην* ἀντὶ τοῦ *λιθολευστήν* (Πρβ. *καταλεύστης*· Ἡσύχ. καὶ Σχολ. Λυκόφρ. σελ. 98 Sch.) σελ. 25, 5 γρ. «*λίθῳ* καὶ *σιδήρῳ*» ἀντὶ τοῦ *σιδηρῷ*. σελ. 29, 2 γρ. «*ὑπόδοχον* σῆμα» ἀντὶ τοῦ *ὑποδόχον* (Ποικίλ. Φιλ. σελ. 221-4). σελ. 60, 26 γρ. *κατῃσχυμμένης* ἀντὶ τοῦ *κατῃσχυμένης*. Ἐν σελ. 94, 28 φέρεται «*χαμαιεύνεις*, σκληροκοῖται». Μή τι ὁ Βλεμμίδης ἐχρήσατο τῷ βαρβάρῳ *χαμαιεύνεις* ἀντὶ τοῦ *χαμαιεῦναι*, ὡς ὁ βάρβαρος ἐπιγραμματοποιὸς τῷ *καλλιτέχνεις* ἀντὶ τοῦ *καλλιτέχναι* (Kaibel *Epigram. e Lapid.* 796, 3) καὶ ὁ Ψελλὸς τῷ *πρωθήβεις* ἀντὶ τοῦ *πρωθῆβαι* (Μεσ. Βιβλιοθ. Σάθ. Δ΄, 351); Τῷ δὲ ἀθησαυρίστῳ *σκληροκοῖται* ὅμοια ὑπάρχουσι τὸ *χαμαικοῖται, ἐνωτοκοῖται, δρυοκοῖται*, κτἑ. περὶ ὧν διέλαβεν ὁ ἀείμνηστος Κόντος ἐν τῇ Ἀθηνᾷ Τομ. Α΄, σελ. 307 κτἑ. Ἐν τῇ Συναγωγῇ τοῦ Κουμανούδου μνημονεύεται ἐκ τοῦ Μιχαὴλ τοῦ Ἀκομινάτου «τὸ *σκληρόκοιτον*».

ΕΙΣ ΓΕΩΡΓΙΟΝ ΑΚΡΟΠΟΛΙΤΗΝ

Τομ. Α΄, σελ. 79, 21 «ἀτάσθαλον ἦν τὸ μειράκιον καὶ παιδιαῖς ἐνσχολάζειν προσῆκον καὶ μειρακίων ἀθύρμασι, *μή τοι γε* ἀνδρῶν προΐστασθαι συνετῶν καὶ πολιτείας κατάρχειν».

Γρ. *μήτι γε*. Ἴδε Δεβάρ ἐν ***Lib. de Gr. Ling. Partic.*** σελ. 137 ἐκδ. Kl.

σελ. 167, 8 «καὶ τὸ τῆς Δεαβόλεως ἄστυ μηχανήμασι παντοίοις παραστήσασθαι *ἐβεβούλητο*».

Γρ. *ἐβεβούλευτο*. Πρβ. σελ. 168, 1 «ἀντιστῆναι ταῖς βασιλικαῖς δυνάμεσιν *ἐβεβούλευτο*» καὶ σελ. 169. 25.

σελ. 170, 24 «ἐκ Τούρκων ἕλκων τὸ γένος, *ὀρθότατος* δὲ γενόμενος Χριστιανός».

Ἐν τῷ Βρεττανικῷ κώδικι κεῖται ἡ γραφὴ *ὀρθοδοξότατος*, ἀλλὰ καὶ ἡ γραφὴ *ὀρθότατος* δύναται νὰ εὐοδωθῇ. Πρβ. Μετὰ Θεοφ. σελ. 639, 19 «εἰ ἦν *ὀρθὸς* (= γνήσιος, ἀληθὴς) χριστιανός, οὐκ εἶχε μαγαρίσαι». Πλάτ. Φαίδ. 64, α΄ «ὅσοι τυγχάνουσιν *ὀρθῶς* ἁπτόμενοι φιλοσοφίας» καὶ σελ. 67, δ΄, γ΄ «οἱ φιλοσοφοῦντες *ὀρθῶς*» καὶ 64 ε΄ «ὅ γε ὡς *ἀληθῶς* φιλόσοφος» καὶ σελ. 66, β΄ «τοῖς *γνησίως* φιλοσόφοις»· ἔτι δὲ σελ. 67 β΄ «πάντας τοὺς *ὀρθῶς* φιλομαθεῖς». Ἐν τῇ Πολιτείᾳ σελ. 376, β΄ λέγεται «τό γε φιλομαθὲς καὶ φιλόσοφον ταὐτόν».

σελ. 234, 13 «*σκΕπτεται* γοῦν αἰτίαν καὶ στέλλει πρὸς τὴν βασιλίδα».

Γρ. «*σκΗπτεται*—αἰτίαν κτέ». Πρβ. Ἀντών. Λιβερ. ΜΑ΄, 2 «καὶ αὐτὸς μὲν καθ' ἥντινα (γρ. ἴσ. καθ' ἡντιναοῦν ἢ καθ' ἥντινα δὴ) *πρόφασιν ἐσκήψατο* εἰς θήραν ἰέναι» καὶ Λόγγ. Ποιμεν. Γ΄, 6 «καὶ ἐτόλμα, *πρόφασιν σκηψάμενος*, ὤσασθαι διὰ θυρῶν». Ἴδε Bastium ἐν *Epist. Crit.* 201.

Τόμ. Β΄, σελ. 7, 7 «ὡς ἀστέρας μὲν *λευκοσυνθέτους* λόγους».

Δικαίως ὁ ἐκδότης ἀπορεῖ τί δηλοῖ τὸ *λευκοσύνθετος* ἐν τῷ Πίνακι σελ. 114. Ὁ νοῦς ἀπαιτεῖ «ὡς ἀστέρας μὲν *λευκοσυνθέτους* λόγους». Πρβ. Ἰγνάτ. Βί. Νικηφ. σελ. 178, 32 «τοὺς περὶ αὐτῆς λόγους λεπτύνας καὶ περιξύσας», ἔνθα ἀντὶ τοῦ *περιξύσας* γραπτέον *περιξέσας*. Πρβ. Ἀκροπ. Τόμ. Β΄, σελ. 100, 17 «δι' ὃν αὐτοὺς ὁ τεχνίτης λόγος *ὑπέξεσε* καὶ εἰς μέσον εἰς ἡμᾶς ἔφερεν». Τεσσαράκοντα καὶ ἓν ἐπίθετα ἔχοντα δεύτερον συνθετικὸν τὸ ἐπίθετον *σύνθετος* ἀπαριθμεῖ ὁ ἀκριβολόγος Πεζόπουλος ἐν *Διορθ.* καὶ *Γραμματ.* σελ. 14. Προσθετέα καὶ τάδε *νικοσύνθετος, νοοσύνθετος, στρογγυλοσύνθετος, συχνοσύνθετος*. Ὡς δ' ἐν τῷ *λεπτοσυνθέτους* τὸ *λεπτο* διεφθάρη εἰς τὸ *λευκο*, οὕτω καὶ παρ' Αἰλιανῷ Περὶ Ζῴ. Α΄, 57 ἐγράφη «λευκὸν θηρίον ὁ κεράστης» ἀντὶ τοῦ «λεπτὸν θηρίον ὁ κεράστης».

Ἤδη εἶχον στοιχειοθετηθῇ πάντα ταῦτα, ὅτε ὁ φίλος συνάδελφος κ. Ἰ. Παπαδόπουλος ἐν τῇ Βιβλιοθήκῃ ἐκόμισε τὸν Β΄ τῆς Βυζαντίδος Τόμον, ἵνα μοι δείξῃ διατριβὴν τοῦ ἀειμνήστου Δραγούμη περὶ τοῦ Θεοδώρου τοῦ Λασκάρεως. Εἶτα λαβὼν τὸν τόμον καὶ ἀναδιφήσας αὐτὸν εὗρον καὶ Διορθωτικὰ εἰς τὸν Ἀκροπολίτην ὑπὸ τοῦ Βάση, ἐν οἷς ὁ ἀείμνηστος ἀνὴρ διώρθου τὸ *λευκοσυνθέτους* εἰς *λεπτοσυνθέτους*.

σελ. 8, 33 «Πάντας δὲ σεμνοὺς *ὑπεξηρημένους* Νοήμασι σχήμασι λοιπαῖς ἰδέαις».

Ἀντὶ τοῦ ἀδιανοήτου *ὑπεξηρημένους* ὁ Heisenberg εἰκάζει *ὑπερεξηρμένους*. Ἡμεῖς «Πάντας δὲ σεμνοὺς *ὡσπερεὶ διειρμένους* Νοήμασι κτέ».

σελ. 18, 16 «τούτου καὶ τὸ τόξον *κεχάνωται* καὶ τὸ βέλος οἱ κατέθραυσται καὶ τὸ δόρυ συγκατέτριπται».

Φέρεται καὶ γραφὴ *κεχάννωται*, ἥτις οὐδὲν ἄλλο εἶναι ἢ ὅ,τι ὁ ὀρθὸς νοῦς ἀπαιτεῖ, *κεχαύνωται*=κεχάλασται, ἀνεῖται. Ἀντὶ τοῦ *κατέθραυσται* καὶ τοῦ *συγκατέτριπται* ὁ Heisenberg εἰκάζει ἀμφιβάλλων *κατατέθραυσται, συγκατατέτριπται*. Δὲν εἶναι ἀπίθανον ὅτι αὐτὸς ὁ συγγραφεὺς ἔγραψε *κατέθραυσται συγκατέτριπται* (Ἴδε Κόντον ἐν τῷ Σωκράτει Τόμ. Α΄, σελ. 153 κἑ.).

σελ. 43. 15 γρ. *φυλοκρινῶν* ἀντὶ τοῦ *φιλοκρινῶν* (Ἴδε Κόντον ἐν τῇ Ἀθηνᾷ Τόμ. Γ΄, σελ. 397).

σελ. 69, 2 γρ. «καὶ *τοὺς* ἀνθοσμίας τῶν οἴνων» ἀντὶ τοῦ «τὰς ἀνθοσμίας».

σελ. 69, 6 «καὶ ὅτι σὺ μὲν τῷ κοσμικῷ ἡλίῳ τυγχάνεις σχεδὸν καὶ ἀμέσως τῶν ἀκτίνων αὐτοῦ ἐμφορῇ καὶ τῶν ἀμαρυγμάτων εἰς κόρον μεταλαμβάνεις, ὡς καὶ ἡλιοειδῆ σε παρὰ πᾶσι καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἡμεῖς δὲ Κιμμέριοι πεφύκαμεν ἄντικρυς ψύχει καὶ ζόφῳ ἐκπιεζόμενοι οὐδ' ὅλως *ἐπιτίθης*».

Σημειοῦται ὁ ἐκδότης «ἐπιτίθης dubit. scripsi ....τίθη cod.». Ἴσως γραπτέον «οὐδ' ὅλως *ἔτι τίθης*» ἢ «οὐδ' ὅλως *(τοῦτο) τίθης*». Πρβ. 69, 1 «*οὐδὲν ἡγῇ*» καὶ 16 «*πρὸς οὐδὲν λογίζῃ*». Ἴδε Κόντον ἐν Ἀθηνᾷ Τόμ. ς', σελ. 222.

σελ. 70, 5 «Πολλοὶ μὲν καὶ ἄλλοι τῶν φίλων, ὦ θειότατε καὶ σεβασμιώτατέ μοι κεφαλή, εἰς λόγους ἐλθεῖν ἡμᾶς κατηνάγκασαν».

Γρ. «ὦ θειοτάτη καὶ σεβασμιωτάτη μοι κεφαλή». Πρβ. Μᾶρκον Διάκ. σελ. 109, 9 Teubn «Σὺ δέ, ἡ τιμία κεφαλὴ καὶ αἰδέσιμος, ὁ καλὸς Πορφύριος κτἑ». Ἴδε Κόντον ἐν τῷ Περιοδ. Συγγρ. Ἀθηναίῳ Τόμ. Ε', σελ. 506 κτἑ.

σελ. 71, 14 Ὅτι γρ. «ὑπὲρ τὰ ἐσκαμμένα τετολμήκασι πηδᾶν» ἀντὶ τοῦ *ἐσκεμμένα* καὶ τυφλῷ δῆλον.

σελ. 76, 16 «ταύτην γοῦν τὴν ὕλην οἱ φυσικοὶ οὐσίαν ὑποτίθενται οὐχ ἥκιστα ἢ τὸ εἶδος, ὡς δεκτικὴν ἁπάντων εἰδῶν, καὶ *πανδόχην* αὐτὴν ὠνόμασαν διὰ τοῦτο καὶ μαινάδα πάλιν».

Ἐν τῷ Πίνακι σημειοῦται ὁ ἐκδότης «Scrib *πανδοχίν*». Οὐδεμία ἀμφιβολία ὅτι πρέπει νὰ γραφῇ *πανδεχῆ* (Ἴδε τὰ ὑπὸ τοῦ Κόντου γεγραμμένα ἐν Ἀθηνᾷ Τομ. Α', σελ. 625-627) ἢ *πανδόχον*, οὗ ἐπιθέτου ἡ δόκιμος ἐκφορὰ εἶναι πανδόκος.

79, 10 γρ. *ἀφάντωσιν* ἀντὶ τοῦ *ἀφάντησιν*.

σελ. 81, 6 «Περὶ τὴν ὕλην ἰλυσπωμένοις καὶ τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδουμένοις διηνεκῶς».

γρ. « περὶ τὴν *ἰλὺν* ἰλυσπωμένοις κτἑ».

σελ. 97, 3 γρ. *θεοσημίαι* ἀντὶ τοῦ *θεοσημεῖαι* (Ἴδε Κόντον ἐν *Γλωσσ. Παρατ.* σελ. 408 κτἑ).

σελ. 100, 30 «ἀλλ' ἵνα ἡμεῖς τῶν ἀκροαμάτων ἀπολαύσωμεν καὶ προσερεθισθῶμεν εἰς ἀρετὴν καὶ πρὸς ζῆλον *ἐπαχθῶμεν* τὸν ὅμοιον κτἑ».

Ἀντὶ τοῦ *ἐπαχθῶμεν* ὁ κῶδιξ ἔχει *ἐπεχθῶμεν*, ὅπερ οὐδὲν ἄλλο εἶναι ἢ τὸ *ἐπειχθῶμεν*. Λέγεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ *ἐπείγομαι πρός τι* καὶ *ἐπείγομαι ἐπί τι*.

σελ. 101, 6 « μιμησώμεθα οὖν Πέτρον καὶ τὰ τοῦ Πέτρου, πρὸς τὴν ἀλήθειαν *αὐθορμήσωμεν*, μιμησώμεθα τὸν ζῆλον».

Ἀντὶ τοῦ *αὐθορμήσωμεν* «εἰκάζω ὅτι ἦτο γεγραμμένον «*εὐθὺ ὁρμήσωμεν*». Τοῦ τελευταίου τοῦ *εὐθύ* γράμματος ἀφανισθέντος, κάλλιστα παρανεγνώσθη τὸ *εὐθ* εἰς *αὐθ*, καὶ οὕτω προέκυψεν τὸ *αὐθορμήσωμεν*. Ὅμοιον τῷ *αὐθορμῶ* ἐν τοῖς Λεξικοῖς μνημονεύεται ἐκ τοῦ Ἑρμοτίμου τοῦ Λουκιανοῦ § 59 τὸ *αὐθομολογοῦμαι*, ἀλλὰ ὑπὸ τῶν κριτικῶν διορθοῦται (Ἴδε *Μνημοσ.* 1901, σελ. 167). Ὁ Κουμανούδης ἐν τῇ Συναγωγῇ Ἀθησ. Λέξεων σελ. 50 μνημονεύει παράδειγμα τοῦ *αὐθομολογεῖσθαι* καὶ ἐκ τοῦ Φωτίου ἐν τῷ Λεξικῷ τοῦ Ἀνδρέου Λοπαδιώτου σελ. 222. Ἐν τῇ νέᾳ Ἑλληνικῇ γλώσσῃ ἐπλάσθη τὸ *πανθομολογούμενος-ον*.

ΕΙΣ ΜΑΡΚΟΝ ΔΙΑΚΟΝΟΝ

ἐκδ. Teubn

σελ. 3, 15 «συγγράφω δὲ τὴν ἐκείνου εὐφημίαν οὐ κομπῷ λόγῳ· οὔτε γὰρ ἡ καλλιλεξία τὸν βίον τῶν τοιούτων κοσμεῖν εἴωθεν, ἀλλ' ἡ ἀρετὴ τῶν ἔργων καὶ αὐτὴν τὴν φράσιν μεγαλύνει».

Ὁ Μᾶρκος Διάκονος ἔγραψε «*κόμπῳ λόγου*» μιμούμενος τὸν Θουκυδίδην ἐν τῷ ἐπιταφίῳ τοῦ Περικλέους «πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ *λόγου κόμπῳ* χρώμεθα» (Β΄, 40, 1).

ΕΙΣ ΣΧΟΛΙΑ ΑΡΙΣΤΟΦΑΝΟΥΣ

Ἱππ. στ. 373 (σελ. 46, β΄, 5 Διδ.) «τῶν γὰρ *βυρσῶν* ἐστιν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας».

Γρ. *βυρσέων* ἐξ ὀνομαστικῆς *βυρσεύς*. Πρβ. στ. 374 (σελ. 46, β΄, 11) «ὥσπερ γὰρ τῶν *βυρσέων* τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω κτἑ» καὶ σελ. 35, 21. 38, 44. 42, 45. 46, 40. Φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ τὸ σύνθετον *σκυτοβυρσεύς* ἐν *Inscr. Orient.* Β΄, 132, 495, 6 Dittenb. Ὅμοιον τῷ *βυρσεύς* ὑπάρχει τὸ *σκυτεύς, κηπεύς, σιδηρεύς, χαλκεύς*. Πρβ. καὶ *ἁλιεύς, θαλασσεύς*.

Εἰρ. 517 (σελ. 187, 29) «ὦ εἶα ὦ εἶα: Ἀνηνέχθη ἡ Εἰρήνη. Οὕτω δὲ εἰώθασιν οἱ ἐπιστατοῦντες *ἐπέχειν* τὴν ὁρμὴν τῶν ἑλκυόντων». Ἀντὶ τοῦ *ἐπέχειν* ὁ Blaydes γράφει ἐν τῇ ἐκδόσει τῆς Εἰρήνης σελ. 198 *ἐπεγείρειν*. Ἡμεῖς, ἐὰν μὴ τοῦτο σφάλμα τοῦ Σχολιαστοῦ ὑπάρχῃ, γράφομεν *ἐπείγειν*. Πρβ. Ὄρν. 1395 (σελ. 241, 20) «Ὠόπ: Παρακελεύεται αὐτῷ *παύσασθαι* τοῦ ᾄδειν, ὡς οἱ ἐρέσσοντες. Κέλευσμα γάρ ἐστι τὸ ὠὸπ τῶν ἐρεσσόντων *καταπαῦον* τὴν κωπηλασίαν».

ΕΙΣ ΣΧΟΛΙΑ ΛΟΥΚΙΑΝΟΥ

σελ. 147, 1 Rab. «τῷ τε γὰρ ἰάμβῳ Ἀρχίλοχος, ὃν καὶ πρῶτόν φασι τῷ μέτρῳ χρήσασθαι, πρὸς ὕβριν τῶν Λυκαμβίδων *διεγχειρίσατο*».

Σημειοῦται ὁ ἐκδότης «διεγχειρίσατο sic V ; om. φ ; διεχρήσατο Lehmann ; nescio, quid lateat». Ἡμεῖς μεταγράφομεν τὸ χωρίον ὧδε «τῷ τε γὰρ ἰάμβῳ Ἀρχίλοχος, ὃν πρῶτόν φασι τῷ μέτρῳ χρήσασθαι πρὸς ὕβριν, τὰς Λυκαμβίδας *διεχειρίσατο*». Πρβ. Σχόλ. εἰς τὸ Ἡφαιστ. Ἐγχ. περὶ Μέτρ. Β΄, 5 (Metr. Script. Τόμ. Α΄, σελ. 152. 6 Teubn.) «ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν—ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι». Περὶ τῆς χρήσεως τοῦ *διαχειρίζεσθαι* ἐπὶ τῆς ἐννοίας τοῦ *ἀναιρεῖν ἢ φονεύειν* δύναταί τις νὰ διεξέλθῃ τὰ ὑφ' ἡμῶν διειλημμένα ἐν τῇ Ἀθηνᾷ Τόμ. ΚΔ΄, σελ. 265-271.

ΕΙΣ ΟΡΝΕΟΣΟΦΙΟΝ

σελ. 522, 1 Herch. «καὶ ὅταν θέλῃς ἐκβαλεῖν αὐτόν, μὴ ἔστω *καλλιπαρός*». Γρ. *καταλίπαρος*, τ. ἔ. λίαν λιπαρός. Πρβ. *περιλίπαρος, ὑπολίπαρος* (Ἴδε Ἀθηνᾶν Τόμ. ΛΒ΄, σελ. 166-7 καὶ Πεζόπουλον ἐν *Διορθ.* καὶ *Γραμματ.* σελ. 7 κἑ.).

Ἱερακοσοφ. σελ. 404, 3 «*γλυκΟπαχεῖ* συστάσει». Λέγεται μὲν *ἀπαχής, ἀκροπαχής ἀνισοπαχής, γουνοπαχής, δουρατοπαχής, ἑτεροπαχής, εὐπαχής, κνημοπαχής, νευροπαχής*, ἀλλὰ ὁ *γλυκὺς* καὶ *παχύς* θὰ λεχθῇ *γλυκΟπαχυς* ἢ κάλλιον *γλυκΥπαχυς*. Πρβ. *ὀξύγλυκυς, ὀξύβαρυς, ψεύδοξυς* (Ἴδε τὰ ὑφ' ἡμῶν διειλημμένα ἐν τῇ Μνημοσύνῃ Τόμ. XLIII, σελ. 221-223).

«Ἄλλοις ἐν ἐσθλοῖς τόνδ' ἀπωθεῖται ψόχον».

Ὁ Cobet ὁ ἄξια καὶ Μουσῶν ἄξια καὶ Χαρίτων γράψας ἐν τῷ Λογίῳ Ἑρμῇ 1867, σελ. 275 τοὺς περὶ τοῦ Καρνεάδου ἐν τῇ τοῦ Εὐσεβίου Εὐαγγελικῇ Προπαρασκευῇ λόγους τοῦ Νουμηνίου σελ. 739 Α μνημονεύσας «ἔπασχεν οὖν πάθημα *ὀσπρίων*, ὧν τὰ μὲν κενὰ ἐπιπολάζει τε τῷ ὕδατι καὶ ὑπερέχει, τὰ χρηστὰ δὲ αὐτῶν ἐστὶ κάτω καὶ ἐν ἀφανεῖ» γράφει «Μή τι σὺ οἶσθα, ὦ Κόντος, τὰ *ὄσπρια* τοιοῦτόν τι πάσχοντα; εἰ δὲ μή, σύζήτει μοι τίνα ἐστὶν ὧν τὰ μὲν κενὰ ἐπιπολάζει τῷ ὕδατι, τὰ δὲ χρηστὰ κατὰ τοῦ βένθους δέδυκε. Τόδε μὲν δὴ πρόδηλον ὅτι τὰ ζητούμενα ταῦτα, ἅττ' ἂν ποτ' ᾖ, ἐν τῷ ὕδατι ζῇ τε καὶ τρέφεται. Ἐγὼ μὲν οὐκ *ὄσπρια* ἀλλ' *ὄστρεια* εἶναι οἶμαι, σὺ δὲ τί;».

Ἥμαρτεν ὁ μέγας κριτικὸς ὑπ' ἀπειρίας τῶν πραγμάτων. Τίς τῶν Ἑλλήνων ἀγνοεῖ ὅτι τῶν ὀσπρίων τὰ μὲν κενὰ ἐπιπολάζουσιν ἐν τῷ ὕδατι, τὰ δὲ χρηστὰ καταδύονται; Οὐδεμιᾶς ἄρα τὸ χωρίον χρῄζει θεραπείας. Ταὐτὸν τοῖς ὀσπρίοις πάσχουσι καὶ τὰ ᾠά. Ὁ τὰ Γεωπονικὰ γράψας λέγει «δοκιμάσεις εἰ χρήσιμά ἐστι τὰ ᾠά, οὕτως. Βάλε ταῦτα εἰς ὕδωρ, τὸ μὲν γὰρ ἀποδέον ἐπιπολάζει ὡς ἄχρηστον, τὸ δὲ πλῆρες κατενεχθήσεται κάτω» (ΙΔ΄, 7, 27) καὶ «διαγνώσῃ δὲ τὸ πλῆρες ᾠὸν καὶ τὸ μή, βαλὼν εἰς ὕδωρ· τὸ ἀποδέον γὰρ ἐπιπολάσει, κάτω δὲ χωρήσει τὸ πλῆρες». Πρβ. καὶ ς΄, 17, 1 «Ἀχράδας, τουτέστιν ἀπίδια τὰ ὠμότατα, βάλε εἰς γλεῦκος, καὶ ἐὰν ἔχῃ ὕδωρ, βολίζονται· ἐὰν δὲ μὴ ἔχῃ, ἐπιπλέουσιν». Πρβ. καὶ Θ΄, 19, 9.

Παρὰ τῷ Λουκιανῷ Δὶς κατηγορ. § 11 φέρεται «τὸν ἱδρῶτα ἐκ τοῦ μετώπου *ἀγκύλῳ τῷ δακτύλῳ* ἀποξυόμενοι».

Ὁ Cobet ἐν Var. Lect. σελ. 163 γράφει «Aut ego fallor aut Lucianus scripsit ἀγκῶνι ἀποξυόμενοι, deinde postquam ἀγκῶνι in ἀγκύλῳ depravatum est, τῷ δακτύλῳ adscriptum est a nescio quo, ut aliqua in iis sententia inesse videretur—Ἀγκῶνι ἀποξύεσθαι affine est notae locutioni ἀγκῶνι ἀπομύττεσθαι, *cubito se emungere*, vid. Menagium ad hæc verba Diogenis Laertii in Bione IV. 46. ἐμοὶ δ' ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος τῷ ἀγκῶνι ἀπομυσσόμενος», ὅπερ ὁ Βερναρδά-

κης ἐν τῷ Λεξικῷ σελ. 14, β΄ ἐκδ. 2ας μετὰ τὰ ἐν τῇ Ἀθηνᾷ Τόμ. ΚΒ΄, σελ. 276 γεγραμμένα ὀρθῶς ἑρμηνεύει «σπογγίζων τὴν μύτην του μὲ τὸν ἀγκῶνα».

Οὐδεὶς Ἕλλην ὢν ἐσφαλμένην θὰ ὑπελάμβανε τὴν παρὰ τῷ Λουκιανῷ γραφὴν «*τὸν ἱδρῶτα* ***ἀγκύλῳ τῷ δακτύλῳ*** *ἀποξύεσθαι*» ἀντὶ τοῦ ***ἀγκῶνι*** *ἀποξύεσθαι*. Ποσάκις εἴδομεν τοὺς ἀγρότας, τοὺς ἐν ἄστει ἐργάτας, ποιοῦντας τοῦτο, ἢ ποσάκις καὶ ἡμεῖς πυκνὰ περιρρεόμενοι καὶ ἀποροῦντες πῶς τὸν ἱδρῶτα τοῦ μετώπου θ' ἀπομάξωμεν σπάνει μάκτρου δὲν πράττομεν τοῦτο ἀγκύλῳ τῷ δακτύλῳ;

Ἐν τοῖς κατὰ Δρόσιλλαν καὶ Χαρικλέα Νικήτα τοῦ Εὐγενιανοῦ Ε΄, 7 λέγεται «καὶ τὸν καταρρέοντα μαργάρων δίκην *ἱδρῶτα λεπτὸν ἀπεμόργνυ* ***δακτύλῳ***».

ΕΠΑΝΟΡΘΩΤΕΑ

Ἐν τῇ Τεσσαρακονταετηρίδι τῆς Καθηγ. τοῦ Κ. Σ. Κόντου σελ. 371 ἐγράψαμεν «Ἐν τῷ Εὐαγόρᾳ τοῦ Ἰσοκράτους § 49 κεῖται «Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην καὶ διὰ τὴν τῶν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὔτ' *ἐμπορίῳ χρωμένην οὔτε λιμένα κεκτημένην*, ταῦτά τε πάντα διώρθωσεν κτέ». Τὸ *λιμένα κεκτημένην* ἑρμήνευμα τοῦ *ἐμπορίῳ χρωμένην* ὑπολαμβάνοντες γράφομεν «οὔτε τοὺς Ἕλληνας προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὔτ' ἐμπορίῳ χρωμένην [οὔτε λιμένα κεκτημένην], ταῦτά τε πάντα διώρθωσεν κτέ».

Ἀλλ' αἱ δεύτεραι φροντίδες σοφώτεραι κατὰ τὸν σκηνικόν. Τὸ χωρίον ὑγιαίνει. Πρβ. Ὑπερείδ. Ἀπόσπ. 70, 2 (σελ. 106 Blass) «οὔτε γὰρ *λιμένας* εἶναι παρ' αὐτοῖς οὔτε *ἐμπόριον* οὔτε ἄλλην διατριβὴν οὐδεμίαν». Δί. Χρυσόστ. Λόγ. ΚΔ΄, 75, 7 «χρήματα πολλὰ κεκτῆσθαι καὶ συχνὰ *ἐμπόρια καὶ λιμένας* καὶ τριήρεις». Φίλ. Ἰουδ. Τόμ. Δ΄, σελ. 155 Λιψ. «τοῖς μὲν *ἐμπόρια* καὶ *λιμένες*, τοῖς δὲ πόλις τις ἢ χώρα».

Ἐν τῇ Μνημοσύνῃ Τομ. XLIII, σελ. 229 ἐγράψαμεν «Philum. p. 14, 19 Wellm: πρὸς δὲ τὸ *κατᾶξαι* ἔμμηνα ἀπὸ βαλανείου δίδου μετ' οἰνομέλιτος θερμοῦ. Quid κατᾶξαι τὰ ἔμμηνα ab κατάγνυμι significet non intellego. Aelius Promotius, ut editor notat, scribit: ἄγει δὲ καὶ ἔμμηνα ἐν λουτρῷ ποθεῖσα, unde crederes corrigendum esse: πρὸς δὲ τὸ κατάξαι ab κατάγειν».

Ἀλλ' ὡς ἐλέχθη «καταμήνια *καταρρήγνυσι*» (Ἱπποκράτ. Τόμ. Β΄, σελ. 848 Erm.), οὕτω κάλλιστα δύναται νὰ λεχθῇ καὶ «*κατάγνυσι* ἔμμηνα». Ὅθεν ἀμφότερα δυνατὸν ὑπάρχει νὰ λεχθῶσι τό τε *καταγνύναι ἔμμηνα* καὶ τὸ *κατάγειν* τὰ *ἔμμηνα*. Νεφέλην παραδειγμάτων τοῦ *ἄγειν ἔμμηνα* ἔχομεν ἐκ τοῦ Διοσκουρίδου· ἔτι δὲ λέγεται καὶ *ἐμμήνων ἀγωγός* Τόμ. Α΄, σελ 22, 6 23, 5. 178, 2, κτλ. Β΄, 13, 7. 57, 5. 77, 10. 78, 14, κτλ. Τόμ. Γ΄, 18, 22. 47, 3. 97, 1 καὶ *ἀγωγὴ ἐμμήνων* Τομ. Α΄, 118, 18. Τόμ. Β΄, 68, 15. 116, 4. 117, 10. 126, 10. 132, 7. 134, 8. Ἐλέχθη δὲ καὶ *ἐπιμήνια κατασπᾷ* (Ἱπποκρ. Τομ. Β΄, σελ. 432 Erm.).

ΕΙΣ ΤΟ LEX. CRÆC. SUPPL. ET DIALECTICUM

τοῦ v. Herwerden

σελ. 133 «ἀνηξιοπάθει. Jos. Arch. XV, 44 vitiose pro ἀναξιοπάθει».

Τὸ ὀρθὸν εἶναι οὐχὶ *ἀναξιοπάθει* ἀλλ' *ἠναξιοπάθει*, ὡς ὑπέδειξεν αὐτὸς ὁ Herwerden ἐν τῇ Μνημοσύνῃ 1893, σελ. 228. Ἐν ΙΖ΄, 7, 15 ὁ κῶδιξ W ἔχει τὸ ὀρθὸν *ἠναξιοπάθει*, ὅπερ κεῖται καὶ ἐν τοῖς Αἰσωπείοις Μύθοις 148 καὶ παρὰ Παχυμέρῃ Τόμ. Α΄, σελ. 156, 15. Τὸ ἐσφαλμένον *ἀνηξιοπάθει* κεῖται παρὰ Ζωναρᾷ Ἐπιτ. Ἱστορ. Τόμ. Β΄, σελ. 388, 14. (Ἴδε Ἀθην. Τόμ. ΙΓ', 456-459).

σελ. 144 «ἀντευδοκιμεῖν, fama superare: Lyd. d. mens. I 28 (p. 14, 14).

Ἐν τῷ περὶ Μηνῶν Ἰωάννου τοῦ Λυδοῦ φέρεται «*ἀντευδοκι*μεῖται δ' ὅμως (Πτολεμαῖος) παρὰ τοῦ Περγαμηνοῦ Ἀττάλου, Κράτητος τοῦ γραμματικοῦ ἡγησαμένου τῆς σπουδῆς πρὸς ἔριν Ἀριστάρχου τοῦ ἀντιτέχνου αὐτοῦ».

Προσεδοκῶμεν ἀντὶ τοῦ *ἀντευδοκιμεῖται* τὸ *παρευδοκιμεῖται*, ὅπερ καὶ τὸ μόνον ὀρθὸν ὑπάρχει.

σελ. 227. «*ἀσυνεργητικός*. Philodem. *de vitiis* ed. Sauppe p. 23, 9. Cf. ἀσύνεργος in lexicis et Philodem. l. l. p. 61, 3. Eodem sensu *ἀσυνέργητος*. Carniscus in Philisca. Vol. Herc. (II) V 194, 5 sq.».

Σφόδρ' ἀμφιβάλλομεν ὅτι ἐλέχθη ὑπὸ τοῦ Φιλοδήμου *ἀσυνεργητικός*. ἀντὶ τοῦ *ἀσυνέργητος*. Ἴδε Παρνασσ. 1883, σελ. 813, ἔνθα ὁ Κόντος τὸ παρὰ τῷ Γαληνῷ Δ', 678 *ἀκαταπληκτικώτατα* διορθοῖ εἰς τὸ *ἀκαταπληκτότατα*.

σελ. 294 «βυθοταραξοκίνησε (—ητα ?) in vocativo pap. mag. bibl nat. W. I. 184 a fundo turbans movensque».

Μή τι γρ. *βυθοταραξοκίνησι*. Πρβ. σελ. 664 «θερμοφύσησις (vocativus) in pap. mag. bibl. nat. Pap. (Wess.) l. 183 pro θερμοφύσητε, si sanum est». Ὅμοια τούτοις ἐσχηματισμένα ὑπάρχουσι τὸ *βορβοροτάραξις* Ἀριστοφ. Ἱππ. 310 «ὦ βορβοροτάραξι καὶ τὴν πόλιν ἅπασαν ἀνατετυρβακώς», τὸ *ὠτοκάταξις* Ἀποσπ. 98 καὶ Λουκιαν. Λεξ. § 9.

Ἐν σελ. 1451 φέρεται «*τεχνιτικός*, artificem decens ? Philodem. de musica ed. Kemke, p. 40 (45), 5 οὐχ ὅπως ταῖς χορδαῖς — ἐπειδὴ τοῦτο γελοῖον καὶ τεχνικόν ποτε ἦν. Utrum excidit negatio, an significat nimis artificiosum ? Num forte ἀτεχνιτικόν ?

Ἀλλὰ καὶ ὁ σχηματισμὸς *ἀτεχνιτικός*, πρὸς τοῦ Τεχνικοῦ, οὐ τεχνικός. Γραπτέον *κοὐ τεχνικόν*

σελ. 362 «*διακεῖσθαι* pro verbo simplici, si l. s. Philostr. de gymn. V. Θυσάντων Ἠλείων ὁπόσα νομίζουσι, *διέκειτο* μὲν ἐπὶ τοῦ βωμοῦ τὰ ἱερά, πῦρ δ' αὐτῷ οὔπω ἐνέκειτο κτέ». Sed legendum arbitror: ὁπόσα νομίζουσι *δή*, ἔκειτο κτέ.».

Πολλάκις ἐνετύχομεν τῷ *διακεῖσθαι* ἐφ' ἧς καὶ τὸ ἁπλοῦν *κεῖσθαι* ἐννοίας παρ' Ἄννῃ τῇ Κομνηνῇ Τόμ. Α΄. σελ. 210, 23 Teubn. «πόλις δὲ αὕτη Βιθυνῶν παρὰ θάλατταν *διακειμένη*» καὶ σελ. 229, 1 «πρὸς τὸν Λαρδέαν ἄπεισιν ἐν μεταιχμίῳ τῆς Διαμπόλεως καὶ Γολόης *διακείμενον*». καὶ σελ. 234, 10 «πόλις δὲ αὕτη τῶν περὶ τῶν Ἴστρον *διακειμένων* περιφανής» καὶ 29 «περί τινα ῥύακα ἀγχοῦ τοῦ Ἴστρου *διακείμενον*» καὶ σελ. 235. 9. 248, 10. 251, 9 καὶ Τόμ. Β΄, σελ. 61, 29 «περὶ τὴν Ἱερὰν καλουμένην Λίμνην τὸν χάρακα ἐπήξατο τῆς Ἀγχιάλου ἀγχοῦ διακειμένην» καὶ σελ. 69, 15. 86, 11. 87, 11. 104, 16. 116, 3. 126, 12. 194, 18. 195, 17. 245, 29. Φέρεται τὸ ῥῆμα *διακεῖσθαι* ἀντὶ τοῦ ἁπλοῦ *κεῖσθαι* καὶ ἐν παπύροις (Ἴδε *Wærterbuch der Griech. Papyrus Kunden* σελ. 351).

Τὸ αὐτὸ φάρμακον συνέστησε ὁ ἀοίδιμος ἀνὴρ καὶ σελ. 374 «διατρεμεῖν? Nusquam legitur praeterquam in Arr. Peripl. cap. 6 init. βορρᾶς ἐπιπνεύσας ὀλίγος κατέστησε τὴν θάλατταν καὶ *διατρεμῆσαι* ἐποίησεν. Sed vide ne scripserit καὶ *δὴ* ἀτρεμῆσαι. Ἴσως τις εἴπῃ ὅτι ἡ τοῦ ῥήματος *διατρεμῆσαι* συλλαβὴ ΔΙ προῆλθεν ὑπὸ τῆς ἐμφεροῦς τὸ σχῆμα οὔσης διφθόγγου ΑΙ, εἰς ἣν λήγει ὁ προηγούμενος σύνδεσμος κΑΙ, ἀλλ' ἡμεῖς, πιστεύομεν ὅτι ὑπῆρξεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ῥῆμα *διατρεμεῖν*. Ὁ Cobet ἐν τῇ Μνημοσύνῃ 1862, 404 ἀπεφήνατο ὅτι τὸ σύνθετον *διακοῦμαι* δὲν εἶναι Ἑλληνικόν, ἐπήνεγκε δὲ ὅτι τὰ ῥήματα *ἰῶμαι* καὶ *ἀκοῦμαι* καὶ *θεραπεύω* δὲν συντίθενται τῇ ΔΙΑ προθέσει. Ἀλλ' ὅμως ῥῆμα *διακεῖσθαι* ὑπῆρξε. Τετράκις ἀπαντᾷ ὁ ἀόρ. *διακέσασθαι* ἐν ἐπιγραφαῖς κατακεχωρισμέναις ἐν τῷ Δελτίῳ τῆς Ἑλληνικῆς Ἀλληλογραφίας 1904, σελ. 72. 77 καὶ 1905, σελ. 480, 10.

σελ. 502 «ἐνκεκλημματογραφηκέναι pro ἠγκλαματογραφηκέναι. Pap Leid. A (a. C)».

Ὀρθῶς ἔχει τὸ «*ἐγκεκλημματογραφηκέναι*». Πρβ. *Παρασεσυγγραφηκέναι* (Δημοσθ. 1291, 28 καὶ σελ. 1293, 34).

σελ. 508 «Ἐντέλλεσθαι Passim Herodotus, qui III 137 scribit τοσόνδε μέντοι *ἐνετείλατό* σοι Δημοκήδης ἀναγομένοισι *κελεύων* εἰπεῖν, ubi *κελεύων* abundat».

Ὡς εἶπεν ὁ Ἡρόδοτος *ἔλεγε φάς, ἔφη λέγων, λέγει φάς, ἔλεγε φάμενος, ἀμείβετο φὰς* (Α΄, 122. Ε΄, 36. 39. ϛ΄, 82. Ε΄, 49), οὕτω καὶ *ἐνετείλατο κελεύων* (Ἴδε Bruhn ἐν *Anh. Soph.* § 207. Πρβ. καὶ Lobeck ἐν *Paralipom.* σελ. 532 καὶ L. Raderm. ἐν *Neutest Gramm.* σελ. 220).

σελ. 522 «*ἔξοπτος*, valde coctus (Hippocr.). Crenf. 121, 8 φρέατα *ἐξόπτης* πλίνθου».

Γραπτέον ἐν διαστάσει «*ἐξ ὀπτῆς πλίνθου*». Πρβ. Ἡρόδ. Α΄, 180 «αἱμασιὴ *πλίνθων ὀπτέων*». Ἀρριαν. Ἀναβ. Ζ΄, 17, 2 «*ἐκ πλίνθου ὀπτῆς*». Ἰουλιαν. Ἐπιστ. 80 «στῆσον ὀπτῆς πλίνθου καὶ κόνεως». Γεώργ. Μον. σελ. 264, 22 «*ἐξ ὀπτῆς πλίνθου*». Ὅμοια τῷ ἐν τοῖς Ἱπποκρατείοις ἀπαντῶντι *ἔξοπτος* ὑπάρχουσιν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τὸ *πάροπτος*

καὶ τὸ *κάτοπτος*, περὶ οὗ λέγεται ἐν τῷ Κωνσταντινιδείῳ Λεξικῷ «ἀμφ. ἐν Διοσκ. 1. 77 ἀντὶ τοῦ *κατοπτητός*». Τὸ *κάτοπτος* ἀπαντᾷ παρὰ τῷ Διοσκουρίδῃ Ε', 177 «ὄστρακα δὲ τὰ ἐξ ἰπνῶν τὰ λίαν *κάτοπτα*, ἐσχαρωτικά» καὶ 178 «καὶ ἡ ἐκ τῶν καμίνων δὲ *κάτοπτος* γῆ πυρρὰ τὴν αὐτὴν ἔχει δύναμιν τοῖς ὀστράκοις». Πρβ. *ἑφθός — κάθεφθος, ἔξεφθος, δίεφθος, ἄπεφθος, μόνεφθος.*

σελ. 402 «*δρακοντόζωνες*. Vox corrupta (?) in Julii Africani Κεστῶν fragm. vs. 29 (PO III 412)».

Τὸ *δρακοντόζωνες* κρότωνος ὑγιέστερον ὂν ὑπάρχει τοῦ αὐτοῦ κόμματος τοῖς ὑπὸ τοῦ ἀειμνήστου Κόντου κατειλεγμένοις ἐν τῷ Περιοδικῷ Συγγράμματι Παρνασσῷ Τόμ. Δ', σελ. 124 *κατήγωρ, διάκων, ἀρχιδιάκων, ἔγγων· ἡμίονες, αὐτόκτονες, σφενδών*. Πρβ. καὶ τὰ κυκλούμενα *ἐπίμων* καὶ *εὔζων*. Ἴδε καὶ L. Radermacher ἐν *Neutestam. Gramm.* σελ. 19 κἑ.

σελ. 556 «ἐπιμήκης. Ad superl. ἐπιμήκιστος cf. etiam Clem. Al. p. 35 51; 190, 7; 236, 9 Sylb».

Πάντα τὰ χωρία γραπτέα οὐχὶ ὑφὲν ἀλλ' ἐν διαστάσει. Τόμ. Α', σελ. 128, 2 Δινδ. «τὸ δὲ μὴ *ἐπὶ μήκιστον* ἐνδιατρῖψαι τοῖς ἁμαρτήμασι τελευταῖον τετάχθω» καὶ Τόμ. Β', σελ. 268, 1 «ἵνα οὖν μὴ —*ἐπὶ μήκιστον* τὰ ὑπομνήματα προάγωμεν» καὶ Τόμ. Γ', σελ. 12, 11 «ὡς δὲ μὴ ἐπὶ μήκιστον παρεξίωμεν» (Ἴδε Κόντον ἐν *Ἀθην.* ΚΑ', σελ. 145-150).

σελ. 947 «κεράμιον μετρητιαῖον ὕδατος πλῆρες τρύπημα ἔχον *κυμεαῖον* (?) ἀπέχον ἀπὸ τῆς γῆς ἐφ' ὅσον ποδῶν ἑπτά».

Γραπτέον *κυαμιαῖον.*

σελ. 958 «*μισητία* — Add. Procop. III 19, 10 de immatura puella: ἡ δὲ τοῖς κακοδαιμονοῦσιν ἀνδρείαν τινὰ μισητίαν <ἂν> εμίσγετο».

Πρὸ τοῦ Herwerden ὁ Κόντος τῷ 1904 ἐν Ἀθηνᾷ Τόμ. Ιϛ', σελ. 563 κἑ. ἔγραψε *μισητίαν ἐμίσγετο.*

σελ. 1044 «*ὀξυθυμωθεὶς* pro ὀξὺ θυμωθεὶς reddidi Procopio III 1, 2, 6. Recepit Haury».

Γραπτέον κατὰ τοὺς κανόνας τῆς Ἑλληνικῆς γλώσσης *ὀξυθυμΗθείς*, οὐχὶ *ὀξυθυμΩθείς*. Ἴδε *Ἀθην.* ΚΒ', σελ. 313.

σελ. 1527 λ. ὑποσκαριφισμός. Ὁ Paton παρὰ Πλουτ. Συμποσ. ϛ', 7 σελ 683 DE γράφει «οὐ γὰρ μόνον *ὑποσκα(ρι)φισμοί* καὶ διαττήσεις καὶ ἀποκρίσεις εἰσὶ τῶν σιτίων κτἑ» ἀντὶ τοῦ *ὑποσκαφισμοί*. Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶναι *ὑποσκαριφΗσμοί*. Ἴδε Κόντον ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ Τόμ. Ζ', σελ. 372-374. Τοῖς ὑπὸ τοῦ Κόντου κατειλεγμένοις προσθετέα τάδε: *ἀντλησμός* (Herw.), *αὐλησμός, κυκησμός* (Σοφ. Ἰχν. 117), *ξεναγησμός, συγκροτησμὸς* καὶ *ἀποκραιπαλησμός* ἐκ διορθώσεως τοῦ Kock ἀντὶ τοῦ *ἀποκραιπαλισμός*. Παρασημειωτέον δ' ὅτι φέρεται παρὰ τῷ Φιλοδήμῳ περὶ Ῥητ. σελ. 173. 17 «μὴ μέντοι ἀλλοτρίαν ὥσπερ ἐγκραιπαλίζουσαν», ἀνθ' οὗ ὁ Herwerden σελ. 768 λ. κατάκοπος γράφει *ὡσπερεὶ κραιπαλίζουσαν.*

σελ. 1120 «*παρευμαρεῖν*, ut leve spernere. Hes. παρευμάρησεν: κατεφρόνησεν».

Μή τι γραπτέον *παρηνημέρησεν: κατεφρόνησεν*»; Πρβ. «παρευημερηθείς: παροραθείς».

σελ. 1602 «χοϊαῖος. Suidæ s. v. χοΐδια· σταμνία κατεσκεύασαν *χοΐδια* τὸ μέγεθος κτἕ. Zekides Mitt. XXXI p. 237 recte emendat *χοϊαῖα*, lexicis eximens χοΐδια».

Suum cuique. Πολλῷ τοῦ Ζηκίδου πρότερον ὁ ἀείμνηστος Κόντος ἔτει 1879ῳ ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ Τόμ. Η΄, σελ. 97 διώρθωσε τὸ παρὰ τῷ Σουΐδᾳ ἐσφαλμένως ἀπαντῶν *χοΐδια* εἰς τὸ *χοϊαῖα*.

σελ. 1672 γρ. δυσμιμητότατος;

ἐκκορακίζω

Τὸ μὲν *σκορακίζω* (*) ἐκ τοῦ *εἰς κόρακας πέμπω* ἢ *ἀποπέμπω* κατ' ἀφαίρεσιν τοῦ Ε, εὐνοητότατον ὑπάρχει, ἀλλ' ἀδυνατοῦμεν νὰ ἐννοήσωμεν πῶς τὸ παρὰ Θεοφυλάκτῳ Ἱστορ. Δ΄, 6, 11 (σελ. 161, 27 de Boor) «*ἐκκορακίζουσι* τὸν Ὁρμίσδαν» καὶ τὸ παρὰ Θεοφάνει Χρονογρ. σελ. 314, 46 de Boor «πιάσω αὐτὸν καὶ *ἐκκορακίσω* τοὺς ὀφθαλμοὺς αὐτοῦ» ἑρμηνεύουσιν οἱ λεξικογραφοῦντες ἐξορρύττουσι, ἐκκόπτουσι, ἐξαιροῦσι τοὺς ὀφθαλμούς, ἐξομματοῦσι, ἐκτυφλοῦσι καὶ θὰ ἐξορύξω, κτλ. δίκην κόρακος ἢ ὡς κόραξ τοὺς ὀφθαλμούς.

Πρὶν ἢ εἴπωμεν ἣν περὶ τοῦ πράγματος ἔχομεν γνώμην ἐπάναγκες ὑπολαμβάνομεν νὰ φυλοκρινήσωμεν τὴν σημασίαν, ἣν ἔχουσι πάντα τὰ εἰς ΙΖΩ λήγοντα ῥήματα ἐξ ὀνομάτων ζῴων ἢ πτηνῶν παραγόμενα, οἷον

ἱερακίζω: κρώζω ὡς ὁ ἱέραξ. Αἴλιαν περὶ Ζῴ. Ζ΄, 7 «κολοιοὶ δὲ *ἱερακίζοντες*—κρυμὸν καὶ ὑετὸν δηλοῦσιν». Ἐν παπύροις φέρεται καὶ τὸ ἐπίρρημα *ἱερακιστὶ* (*Herw. Lex. Graec. Suppl. et Dialect.* σελ. 792).

στρουθίζω: ᾄδω, φωνῶ ὡς ἡ στρουθός. Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 228, 40 «ὅτι δὲ ἀπὸ τῆς στρουθοῦ καὶ *στρουθίζειν* τὸ ἐντελῶς (γρ. εὐτελῶς) πως ᾄδειν, δηλοῖ καὶ ὁ κωμικός» (Ἴδε Θησ. Στεφάνου Τόμ. Ζ΄, 881, Α΄). Ἐλέχθη καὶ *ὑποστρουθίζω*.

χηνίζω; φωνῶ ὡς ἡ χὴν ἢ ὁ χὴν ἐπὶ αὐλῶν. Δίφιλ. Ἀποσπ. Κωμ. Τόμ. Β΄, 867. Kock «*ἐχήνισας*· ποιοῦσι τοῦτο πάντες οἱ Παρὰ Τιμοθέῳ».

κοσσυφίζω: φωνῶ, ᾄδω, ὡς ὁ κόσσυφος. Ἥρων ἐν Ἀρχ. Μαθ. 227.

κιχλίζω: φωνῶ ὡς ἡ κίχλη, εἶτα γελῶ βεβιασμένως. Ἀριστοφ. Νεφ. 983 «οὐδ' ὀψοφαγεῖν, οὐδὲ *κιχλίζειν*, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ». Ἀνθ. Παλατ. Ε΄, 245 «*κιχλίζεις*; χρεμέτισμα γάμου προκέλευθον ἱεῖσα». Θεόκρ. Εἰδ. ΙΑ΄, 75 «πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται, *κιχλίζοντι* δὲ πᾶσαι» καὶ ἄλλοι. Φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ τὸ ὄνομα *κιχλισμός*.

(*) Ἴδε Κόντον ἐν τῷ Λογίῳ Ἑρμῇ σελ. 317.—Ἐν Λευκάδι λέγεται «Θὰ σὲ *κορακιάσω*, τ. ἔ. θά σε στείλω 'ς τὸν κόρακα.

χελιδονίζω: φθέγγομαι ἀκατάληπτα καὶ βάρβαρα, ὡς ἡ χελιδών. Αἰσχύλ. Σχολ. Ἀριστοφ. Ὄρν. 1680 «Καὶ ὁ Αἰσχύλος τὸ βαρβαρίζειν *χελιδονίζειν* φησί» (Ἴδε Van Leeuwen ἐν τῇ ἐκδόσει τῶν Βατράχων τοῦ Ἀριστοφάνους σελ. 23). Ἔτι δὲ «*χελιδονίζειν* λέγεται παρὰ Ῥοδίοις ἀγερμός τις, καθ' ὃν παῖδες χελιδονισταὶ καλούμενοι περιέτρεχον τὴν πόλιν καὶ μετέβαινον ἀπὸ οἰκίας εἰς οἰκίαν, συνάγοντες μικρὰ δῶρα καὶ ᾄδοντες εἰς τὴν χελιδόνα *ἦλθ' ἦλθε χελιδὼν καλὰς ὥρας ἄγουσα, κτλ.*. (Ἀθήν. σελ. 360 c). Πρβ. *κορωνισταὶ* καὶ *κορωνίσματα* (359 e-f καὶ 360 a-b.)

ὑΐζω: φωνῶ ὡς ὗς. Πολυδ. Ε΄, 87 «συῶν δὲ γρυλισμὸς γρυλίζειν, γρυλίζοντες καὶ γρύζειν γρύζοντες· οἱ δὲ *ὑισμὸν* εἶπον καὶ *ὑΐζειν ὑΐζοντες*».

